πρώτην. Εὐχαριστοῦμεν... Ὁ διάκονος. Ἀντιλαβοῦ .. Ὁ διάκονος. Σοφία. Ὁ ἱερεύς. Ὅτι πρέπει σοι Ὁ διάκονος. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Ὁ ἱερεὺς τὴν εὐχήν. Πάλιν καὶ πολλάκις... Ὁ διάκονος. Ἀντιλαβοῦ. Σοφία. Ὁ ἱερεὺς ἐκφώνως. Ὅπως ὑπὸ τοῦ κράτους. Ὁ λαὸς λέγει· Οἱ τὰ Χερουβὶμ μυστικῶς.... Ἕτερος ὕμνος· Πᾶσαν νῦν βιωτικὴν [1]) ἀποθώμεθα μέριμναν, ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξάμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ Χερουβικοῦ. Οὐδεὶς ἄξιος.... Εἶτα ὁ διάκονος θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ τὴν πρόθεσιν. Καὶ νίπτων τὰς χεῖρας ὅ τε ἱερεὺς, καὶ ὁ διάκονος λέγει. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου.... Καὶ τίθομαι(?) [2]) προσκυνήματα γ' λέγει [3]). Βασιλεῦ οὐρἰνιε.. καὶ τίθησι τὸ μέγα [4]) κάλυμμα εἰς τὸ ἀριστερὸν μέρος τοῦ ὤμου τοῦ διακόνου λέγων· Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου· καὶ τὸ πνεῦμα τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ὁ διάκονος Ἀπόδός μοι τὴν ἀγαλλίασιν τοῦ Σωτηρίου σου, καὶ πνεύματι ἡγέμονι στήριξόν με. Ὁ δὲ ἱερεὺς λαβὼν τὸν δίσκον τίθησιν ἐπάνω τῆς κεφαλῆς τοῦ διακόνου· καὶ αὐτὸς λαμβάνει [5]) καὶ λέγει· Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ Θεὸς Σαβαὼθ· πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου. Ἐρχομένων δὲ αὐτῶν εἰς τὰ πρόθυρα λέγουσιν. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε πύλαι αἰώνιοι· καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι τοῦ Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εἶτα καλύπτει τὰ ἅγια λέγων. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο. Καὶ θυμιᾷ λέγων τοῖς ἐκ δεξιῶν, καὶ τοῖς ἐξ εὐωνύμων. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ· καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Καὶ αὐτοὶ ἀποκρίνονται· Τὸ Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ ἡ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Καὶ αὐτὸς λέγει. Ἀμὴν, ἀμὴν· γένοιτό μοι κατὰ τὸ ῥῆμα ὑμῶν· καὶ μνησθείη πάντων ἡμῶν ὁ Θεὸς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, πάντοτε, νῦν καὶ ἀεί. Ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ... Ὁ ἱερεὺς τὴν εὐχὴν· Κύριε, ὁ Θεὸς ἡμῶν... Ὁ διάκονος· Ἀντιλαβοῦ. Ὁ ἱερεὺς ἐκφώνως Διὰ τῶν οἰκτιρμῶν... Ὁ ἱερεὺς. Εἰρήνη πᾶσιν. Ὁ διάκονος. Ἀγαπήσωμεν ἀλλήλους. Ὁ διάκονος. Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ, πρόσχωμεν. Ὁ λαὸς, τὸ ἅγιον σύμβο-

---

[1]) ibid. *βιωτικῶν.*
[2]) у Гоара: *τίθουν.*
[3]) ibid. прибавлено: *ὁ διάκονος.*
[4]) ibid. пропущено: *μέγα*
[5]) ibid. прибавлено: *τὸ ποτήριον.*

λον. Πιστεύω. Ὁ ἱερεὺς ἐκφώνως. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... Ὁ ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας. Εὐχαριστήσωμεν τῷ Κυρίῳ. Ὁ ἱερεὺς τὴν εὐχήν· Ἄξιον καὶ δίκαιον. Ὁ ἱερεὺς ἐκφώνως. Λάβετε, φάγετε, τοῦτο γάρ ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Μυστικῶς ὁ ἱερεὺς λέγει· Ὁμοίως καὶ τό.... Πίνετε ἐξ αὐτοῦ πάντες τοῦτο γάρ ἐστι τὸ ποτήριον τοῦ αἵματός μου, καινῆς καὶ αἰωνίου διαθήκης, μυστήριον πίστεως, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχύμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ ἱερεὺς τὴν εὐχήν. Μεμνημένοι τοίνυν... Ἀναναύσας οὖν, καὶ τρίτον τὰ δῶρα σφραγισάμενος, λέγει. Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου. Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου· μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ὁ ἱερεὺς τὴν εὐχήν· Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσι ... Καὶ θυμιῶν τὰ ἅγια, καὶ τὰς χεῖρας εἰς ὕψος αἴρων, ὁ ἱερεὺς ἐκφωνεῖ λέγων· Ἐξαιρέτως τῆς . . Εἶτα ἐπεύχεται οὕτως λέγων. Χαῖρε κεχαριτωμένη. Τῶν τιμίων ἀσωμάτων ἐπουρανίων δυνάμεων. Τοῦ ἁγίου Ἰωάννου.... ζωῆς αἰωνίου καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Τὰ δίπτυχα τῶν κεκοιμημένων· Ἔτι παρακαλοῦμεν ... Ὁ διάκονος, καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει [1]). *Ὁ ἱερεύς· Ἐν πρώτοις μνήσθητι, Κύριε.... τὸν λόγον τῆς ἀληθείας. Τὰ δίπτυχα τῶν ζώντων. Μνήσθητι, Κύριε, τῆς πόλεως ἡμῶν .. τὰ ἐλέη σου ἐξαπόστειλον· καὶ ἐφ οἷς οὐκ ἐμνημονεύσαμεν. Μνήσθητι, Κύριε, καὶ πάντων τῶν ἐν πειρασμοῖς, καὶ ἐν νόσοις, καὶ ἐν κινδυνεύοις, καὶ ἐν πάσαις κακώσεσι συνεχομένων χριστιανῶν ἀδελφῶν ἡμῶν καὶ ἐλέησον αὐτούς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος, καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων δώρων, καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον. Ἐκφώνως. Καὶ δὸς ἡμῖν ἑνὶ στόματι... Καὶ ἔσται τὰ ἐλέη... Ὁ διάκονος· Πάντων τῶν ἁγίων... Ὁ ἱερεὺς τὴν εὐχήν· Σοὶ παρακατατιθέμεθα.... Ὁ ἱερεὺς ὑψοῖ τὰς χεῖρας καὶ λέγει. Πάτερ ἡμῶν. Ὁ ἱερεὺς τὴν εὐχήν· Εὐχαριστοῦμεν. . Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου, λέγει γ'* [2]). *Πρόσχες Κύριε... Εἶθ' οὕτως θυμιᾷ τὰ ἅγια λέγων. Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεῦ μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τρίς. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν*

---

1) Такъ и въ *Εὐχολογιον*'ѣ Barber. IV, 13. Ркп. XI в. 146 л. въ 16 дол.
2) У Гоара, p. 103 опущено: *Κύριε.... λέγει γ'.*

τὴν γῆν ἡ δόξα σου· τρίς. Καὶ ὁ διάκονος ἐκφώνως Πρόσχωμεν. Ὁ ἱερεὺς ὑψῶν τὸν ἄρτον λέγει. Τὰ ἅγια τοῖς ἁγίοις Ὁ ἱερεύς. Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν· ἀλλ' ἐπάκουσον ἡμῶν δεομένων σου. Καὶ λαβὼν τὸν ἄρτον κλῶν αὐτὸν εἰς τρία, λέγει. Μελίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας [1]). Καὶ λαβὼν μίαν μερίδα τίθησιν αὐτὴν ἐν τῷ ποτηρίῳ, τοῦ διακόνου εἰρηκότος. Πλήρωσον δέσποτα. Καὶ ὁ ἱερεύς. Πλήρωμα πίστεως Πνεύματος ἁγίου· πάντοτε, νῦν. Καὶ μικρὸν ὑποκύψας εὔχεται οὕτως. Μεμολυσμένη ψυχῇ καὶ ῥυπαρῷ χείλει, καὶ χερσὶν αἰσχραῖς, καὶ πυλίνῃ γλώττῃ, καὶ ὅλος ὑπάρχω ταπεινὸς, καὶ ἁμαρτωλὸς, καὶ ἀμετανόητος φιλάνθρωπε Σῶτέρ μου, καὶ ἱκετεύω, ὁ καλῶν ἁμαρτωλοὺς εἰς μετάνοιαν, ἄφες, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ τὰ παραπτώματά μου, τὰ πλημμελήματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ τὰ ἐν ἀγνοίᾳ, πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μακρόθυμός τε καὶ πολύελεος, καὶ τῇ πρεσβείᾳ τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὴν ἁγίαν καὶ ἄχραντόν σου δωρεὰν εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κάθαρσιν τῶν πονηρῶν μου λογισμῶν, εἰς τήρησιν τῶν ἐντολῶν σου καὶ εἰς ζωὴν αἰώνιον. Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμή. Εἶτα ἐκφωνεῖ. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· πάντοτε, νῦν καὶ ἀεί. Ὁ λαός. Πληρωθήτω τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, Κύριε· ὅπως ἂν ὑμνήσωμεν τὴν δόξαν σου· ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετοῦντας τὴν δικαιοσύνην σου. Ἀλληλουια. Ὁ διάκονος. Ὀρθοὶ μεταλαβόντες... Ἐκφώνως. Ὅτι συ εἶ ὁ ἁγιασμός... Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθετε. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ ἱερεὺς ἐξέρχεται ἔξω πρὸ τοῦ βήματος, καὶ λέγει ὀπισθάμβωνα τὴν εὐχὴν ταύτην. Ὁ εὐλογῶν τοὺς εὐλογοῦντας... Ὁ λαὸς. Εἴη τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Καὶ ὁ ἱερεὺς σφραγίσας αὐτοὺς λέγει. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῇ αὐτοῦ θείᾳ χάριτι· πάντοτε. Ὁ λαός. Εὐλογήσω τὸν Κύριον. Ὁ ἱερεὺς τὴν εὐχὴν· Τὸ

---

[1]) Ссылка Гоара на pag. 81 невѣрна, такъ какъ на этой страницѣ указывается читать при раздробленіи Агнца совершенно другія слова, именно: *μελίζεται και διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.*

πλήρωμα τοῦ νόμου... Ὁ ἱερεὺς σφραγίζων τὸν λαὸν λέγει Εὐλογία Κυρίου ἔστω ἐφ' ὑμᾶς· πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἁγία τριὰς ἐλέησον. Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς Εἶτα ἀπεκδύεται τὴν στολὴν λέγων. Νῦν ἀπολύεις. Καὶ ἀπολύει· καὶ δίδει τὸ κλαστόν.

V.

Чинъ проскомидіи по рукописи XV в. Синодальной библіотеки № 428, *фул.* 142 об.—144 об.

Ἑρμηνεία [1]) *εἰς τὴν ἔναρξιν τῆς λειτουργίας* [2]).

Εἰσερχόμενοι ὅ τε ἱερεὺς καὶ ὁ διάκονος ἔσωθεν τοῦ ἁγίου θυσιαστηρίου, ποιοῦσιν ἔμπροσθεν τῆς ἁγίας τραπέζης μετανοίας γ'. λέγοντες τὴν εὐχήν [3])

Κύριε Ἰησοῦν Χριστὲ [4]), *ὁ Θεὸς ἡμῶν* [5]), *ἐξαπόστειλον* [6]) *δύναμιν* [7]) *ἐξ* [8]) *ὑψους ἁγίου σου· καὶ ἐνίσχυσόν με εἰς τὴν* [9]) *διακονοίαν ταύτην*[10])· *τοῦ πιαστῆναι* [11]) *ἀκατακρίτως τῷ φοβερῷ* [12]) *βήματί σου· καὶ* [13]) *προσενέγκαί σοι τὴν ἀναίμακτον* [14]) *θυσίαν· ὁ εὐλογητὸς* [15]) *εἶ εἰς τοὺς αἰῶνας.*

---

[1]) Въ ркп. *ἑρμινεία.*

[2]) Въ ркп. № 381, *ф.* 196 заглавія нѣтъ, на л. 24 есть, но другое: *περὶ τοῦ πῶς δεῖ ἐκτελεῖσθαι τὴν θείαν καὶ ἱερὰν λειτουργίαν.*

[3]) № 381, *ф.* 196 и 24: *Ἐν τῷ μέλλειν ἐκτελεῖσθαι τὴν θείαν ἱερουργίαν, ἐπέρχεται ὅ τε ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν· καὶ ποιοῦσι μετανοίας γ'. λέγοντες τὴν* (*ф.* 196 нѣтъ *τήν*) *εὐχὴν ταύτην.*

[4]) № 381, *ф.* 24 нѣтъ: *Ἰησοῦν Χριστέ.*

[5]) № 381, *ф.* 24: *μου.*

[6]) ibid. и *ф.* 196: *μοι.*

[7]) ibid. *βοήθειαν* (*ф.* 24).

[8]) ibid. *ф.* 24: *ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἐνίσχυσον...*

[9]) № 381, *ф.* 24: *προκειμένην διακονοίαν σου.*

[10]) ibid. нѣтъ: *ταύτην.*

[11]) ibid. *ἵνα ἀκατακρίτως παρασταθῶ τῷ φοβερῷ...*

[12]) ibid. *καὶ φρικτῷ.*

[13]) ibid. нѣтъ: *καί.*

[14]) ibid. *ἱερουργίαν ἐπιτελίσθαι.*

[15]) ibid. *ὅτι σού ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν.*

Εἶτα μεθιστάμενος [1]) *ἐν ἑνὶ μέρει τοῦ ἁγίου βήματος, λαμβάνει* [2]) *τὸ στιχάριον* [3]) *καὶ ποιῶν ἐν αὐτῷ σταυρὸν, ἐνδύεται αὐτὸ λέγων ἀγαλλιάσεται* [4]) *ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ ἐνέδυσέ γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι· ὡς νυμφίῳ περιέβαλλε μίτραν· καὶ ὡς νύμφην κατεκόσμησέ με* [5]) *Εἶτα* [6]) *τὸ ἐπιτραχήλιον εὐλογίζων* [7]) *καὶ ἀσπαζόμενος, λέγει· Εὐλογητὸς ὁ Θεὸς, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ ὡς μῦρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα* [8]) *τὸν Ἀαρών* [9])· *Καὶ* [10]) *λαμβάνει* [11]) *τὴν ζώνην εὐλόγησε ζωννυμένος λέγει Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου καταρτιζόμενος* [12]) *τοὺς πόδας μου* [13]) *(φυλ. 143) Εἰς* [14]) *τὸ δεξιὸν ἐπιμάνικον λέγει· Δεξιὰ Κύριε* [15]) *ἐποίησε δύναμιν. Δεξιὰ Κυρίου ὕψωσέ με. Εἰς* [16]) *τὸ ἀριστερόν* [17])· *Αἱ χεῖρες σου ἐποίησαν* [18]). *Εὐλογῶν* [19]) *τὸ φελώνιον καὶ* [20]) *ἐνδυόμενος λέγει Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται Ὁ δὲ διάκονος λαμβάνει* [21]) *τὸ στιχάριον καὶ τὸ ὠράριον καὶ λέγει*

---

[1]) ibid *φυλ.* 196: *εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα, φ.* 24: *ἀσπαζόμενοι τὰς ἁγίας εἰκόνας, καὶ τοὺς χοροὺς προσκυνοῦσι. Εἶτα εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα.*

[2]) ibid. *καὶ λαμβάνει ὁ μὲν ἱερεὺς.*

[3]) ibid. *ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ προσκυνεῖ τρὶς (φ.* 24· *τρίτον) κατὰ ἀνατολὰς καὶ σφραγίζει αὐτὸ λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ. (φ.* 24 нѣтъ *νῦν καὶ ἀεὶ καί). Καὶ ἐνδύομενος αὐτὸ λέγει.*

[4]) ibid. *φ.* 24 *Ἀγαλλιάσθω.*

[5]) ibid. *φ.* 24 *κόσμῳ, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν.*

[6]) ibid. *λαβών.*

[7]) ibid. нѣтъ· *εὐλογίζων (φ* 196. *εὐλογῶν) καὶ ἀσπαζόμενος.*

[8]) № 381 *φυλ.* 24 об. нѣтъ *τὸν πώγωνα τόν.*

[9]) ibid. и *φ.* 196· *τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τοῦ ἐνδύματος αὐτοῦ.*

[10]) ibid *εἶτα.*

[11]) ibid. *λαβὼν τὴν ζώνην λέγει, φ* 196 об. *λαβὼν καὶ εὐλογήσας ζώνην..* (далѣе разобрать невозможно) .. *ὁ Θεός....*

[12]) ibid. *φ.* 24 об. нѣтъ: *καταρτίζομενος τοὺς πόδας μου.*

[13]) *φυλ.* 196 об.: *ὡσεὶ ἔλαφος καὶ ἐπὶ ὑψηλὰ ἱστῶν με.*

[14]) ibid. *φ.* 24 об.: *Καὶ μετὰ ταῦτα φορεῖ τὸ δεξιὸν ἐπιμάνικον λέγων.*

[15]) *φ.* 24 об. *Κυρίου.*

[16]) ibid. *Καὶ εἰς.*

[17]) ibid. *τὸ ἀριστερὸν λέγει.*

[18]) ibid. и *φ.* 196 об.: *με καὶ ἔπλασάν μι.*

[19]) ibid. *Εἶτα λαβὼν τὸ φελώνιον (φ.* 196 об : *φελώνην).*

[20]) ibid. *φ.* 24 об.. *σφραγίζων αὐτὸ, λέγει ἐνδυόμενος.*

[21]) ibid. и *φ.* 196 об.: *λαβὼν καὶ αὐτὸς τότε ὠράριον καὶ τὸ στιχάριον ἐν τῇ λαιᾷ χειρὶ, ποιεῖ τῷ ἱερεῖ μετάνοιαν λέγων. Εὐλόγησον δέσποτα.*

πρὸς τὸν ἱερέα κεκυφῶς· Εὐλόγησον δέσποτα [1]) *τὸ στιχάριον σὺν τῷ ὠραρίῳ* [2]) *Εἶτα* [3]) *ὁ ἱερεὺς σφραγίζων* [4]) *αὐτὰ* [5]) *λέγει Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ* [6]). *Εἶτα* [7]) *ὁ διάκονος ποιῶν τρεῖς μετανοίας* [8]), *ἐνδύεται* [9]), *λέγων ἐν ἑαυτῷ, καὶ τὸ, ἀγαλλίασεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με* [10]).

Εἶτα ἀπέρχονται [11]) *εἰς τὴν πρόθεσιν. Καὶ* [12]) *ποιεῖ εὐλογητὸν* [13]) *ὁ ἱερεὺς ἠρεμαίᾳ φωνῇ Καὶ λαμβανει* [14]) *μίαν τὴν προσφορὰν, τίθησιν αὐτὴν ἐπάνω τοῦ ἁγίου καλύμματος καὶ λαβὼν ἐν τῇ δεξιᾷ χειρὶ τὴν ἁγίαν λόγχην, ποιεῖ σταυροὺς τρεῖς μετ' αὐτῆς ἐπάνω τῆς προσφορᾶς, λέγει Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἴδησις ἀκριβεστέρα τῆς ἁγίας προσκομιδῆς: Μετὰ τὸ ἐνδῦθαι τοῦ ἱερέως ἁπάσαις ἱερατικαῖς στόλαις, ἀπέρχεται εἰς τὴν ἁγίαν πρόθεσιν· καὶ λαμβάνει* [15]) *προσφορὰν, τίθησιν αὐτὴν* [16]) *μετὰ τῆς ἁγίας λόγχης ἐπάνω εἰς κάλυμμα· καὶ ποιεῖ* [17]) *μετανοίας γ'. λαμβάνει* [18]) *τοῖς τρισὶ δακτύλοις* [19]) *τὴν ἁγίαν λόγχην καὶ ποιήσας σταυροὺς τρεῖς ἐπάνω τῆς προσφορᾶς, λέγει· Εἰς ἀνάμ-*

---

[1]) ibid. *φ.* 24 об.: *τὸ ἐνδυόμενον.*
[2]) ibid. нѣтъ. *τὸ στιχάριον σὺν τῷ ὠραρίῳ.*
[3]) ibid. *καὶ.*
[4]) ibid. *σφραγίζει.*
[5]) ibid. *τοῦτο καὶ λέγει.*
[6]) ibid. *φ.* 196 об.: *ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*
[7]) ibid. *φ.* 24 об. нѣтъ: *εἶτα..... ἐνέδυσε γάρ με.*
[8]) ibid. *φ.* 196 об.: *μετάνοιαν.*
[9]) ibid.: *ἐνδῦσαι αὐτό.*
[10]) ibid.: *Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου.*
[11]) ibid. *φ.* 24 об.: *ἀπέρχονται ὁμοῦ ἐν τῇ ἁγίᾳ προθέσει.*
[12]) ibid. нѣтъ: *καὶ ποιεῖ εὐλογητὸν ὁ ἱερεὺς· ἠρεμαίᾳ φωνῇ.*
[13]) № 381, *φ.* 196 об. сіх (на полѣ киноварью: *ἢ καὶ εὐλογητόν*).
[14]) ibid. и *φ.* 24 об. нѣтъ: *καὶ λαμβάνει μίαν..... ἁγίαν πρόθεσιν.*
[15]) ibid. *φ.* 196 об.: *λαβών*, *φ.* 24 об.: *καὶ ἐπαίρει ὁ μὲν ὁ ἱερεὺς τὴν προσφορὰν καὶ λέγει ἱστάμενος κατ' ἀνατολάς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν. Καὶ σφραγίζει τρίτον μετὰ τῆς λόγχης καὶ λέγει. Εἰς ἀνάμνησιν τοῦ Κυρίου.... Χριστοῦ. Καὶ ποιεῖ τὴν προσκομιδὴν οὕτως. Εἰς τὸ ἓν μέρος λέγει·* (*φ.* 25) *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος Εἰς δὲ τὸ ἕτερον λέγει· Οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Καὶ εἰς τὸ τρίτον· Ἐν ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Καὶ εἰς τὸ τέταρτον· Τὴν γενεὰν αὐτοῦ τις διηγήσεται.*
[16]) *φ.* 196 об. нѣтъ: *αὐτήν.*
[17]) ibid. *ποιήσας.*
[18]) ibid. *λαβών.*
[19]) *τοῖς τρισὶ δακτύλοις* нѣтъ въ № 381, *φ.* 196 об.

νησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, γ'. Καὶ πήξας [1]) *τὴν ἁγίαν λόγχην εἰς ἀνατομὴν λέγει· ἐν τῷ ἑνὶ μέρει· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Καὶ ἐν ἄλλῳ μέρει καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν (φ 143 об) ἐν δὲ τῷ ἄλλῳ· οὕτως ἄφωνος οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Καὶ αὖθις τὸ ἕτερον· Ἐν ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται. Καὶ βάλλων* [2]) *ἐκ πλαγίου τὴν λόγχην, λέγει· ὅτι ἔρηται* [3]) *ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· πάντοτε* [4]), *νῦν καὶ ἀεὶ καί Εἶτα* [5]) *οὕτως αἴρει τὸν ἀμνὸν διόλου καὶ τίθησιν αὐτὸν ἐν τῷ δίσκῳ· Εὐθὺς* [6]) *ὁ διάκων· Θῦσον δέσποτα. Καὶ* [7]) *θύων αὐτὸν σταυροειδῶς λέγει· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ* [8]) *ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας· ὁ πάντοτε* [9]) *θυόμενος καὶ μηδέποτε δαπανόμενος. Καὶ* [10]) *τίθησιν αὐτὸν ὕπτιον καὶ νύττει* [11]) *αὐτὸν μετὰ* [12]) *τῆς λόγχης ἐκ πλαγίου λέγει Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε* [13])· *καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν μαρτυρία αὐτοῦ* [14])· *πάντοτε, νῦν καὶ ἀεί* [15]).

---

[1]) Въ ркп. № 381, *φ.* 197 разобрать трудно; видны только: *καὶ ὡς ἀμνος ἐναντίον..... ὸν ἄφωνος. Ἐν δὲ τῷ ἄλλῳ..... στόμα αὐτοῦ. Καὶ αὖθις τὸ ἕτερον· Ἐν ταπεινώσει αὐτοῦ, ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται.*

[2]) ibid. *φ.* 25 и 197: *καὶ πήξας τὴν λόγχην ἐκ πλαγίου (φ.* 197: *ἐκ πλαγίου τὴν λόγχην), αἴρει τὸν ἄρτον καὶ λέγει· Ὅτι.....*

[3]) ibid. *αἴρεται.*

[4]) ibid. нѣтъ. *πάντοτε, νῦν καὶ ἀεὶ καί.*

[5]) ibid. *Εἶτα τίθησιν αὐτὸν ὕπτιον ἐν τῷ δίσκῳ.*

[6]) ibid. *Καὶ τοῦ διακόνου λέγοντος· Θῦσον. .*

[7]) ibid. *ὁ ἱερεὺς χαράττει (φ.* 197: *χαράττων) σταυρὸν μετὰ τῆς λόγχης, λέγων· Θύεται....*

[8]) ibid. *ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας (φ.* 197 послѣ *κόσμου*: *ζωῆς καὶ σωτηρίας).*

[9]) ibid. нѣтъ: *ὁ πάντοτε θυόμενος καὶ μηδέποτε δαπανόμενος.* Сравн. у Гоара, p. 95.

[10]) Въ ркп. № 381, *φ.* 25 нѣтъ словъ: *καὶ τίθησιν..... λέγει*, а слова: *εἷς τῶν στρατιωτῶν....* указывается произносить при влитіи вина и воды въ потиръ; *φυλ.* 197 нѣтъ только. *καὶ τίθησιν αὐτὸν.*

[11]) ibid. *φ.* 197: *νύττων.*

[12]) ibid. нѣтъ: *μετὰ τῆς λόγχης*

[13]) ibid. *Καὶ ἐκχέων τὸ νᾶμα καὶ τὸ ὕδωρ εἰς τὸ ἅγιον ποτήριον, λέγει. Καὶ εὐθέως ἐξῆλθεν...*

[14]) ibid. *φ.* 25 нѣтъ: *πάντοτε, νῦν καὶ ἀεί.*

[15]) ibid. *φ.* 197 къ симъ словамъ прибавляется: *καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Τοῦτο δὲ λεγομένου παρὰ τοῦ ἱερέως, εὐθὺς ἐκχυνεῖ [1]) *ὁ διάκων τὸ αἷμα καὶ τὸ ὕδωρ ἐν τῷ ἁγίῳ ποτηρίῳ.*

Εἰς δὲ τὴν δευτέραν προσφορὰν, λέγει [2])· *Εἰς* [3]) *δόξαν καὶ τιμὴν καὶ* [4]) *πρεσβείαν τοῦ ὑπερευλογημένης ἐνδόξου* [5]) *δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας* [6]). *Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην διὰ τῆς ἁγίας πρεσβείας αὐτῆς.*

Εἰς [7]) *δὲ τὴν τρίτην* [8]) *λέγει· Τῇ* [9]) *δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ προστασίαις* [10]) *τῶν τιμίων* [11]) *καὶ ἐπουρανίων δυνάμεων ἀσωμάτων· τοῦ τιμίου* [12]) *προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων τῶν ιβ' καὶ τῶν ο'.* [13]) *τῶν* [14]) *ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἱεραρχῶν· Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου. Ἰωάννου τοῦ χρυσοστόμου* [15]). *Νικολάου τοῦ ἐν Μύροις· Ἰωάννου τοῦ ἐλεήμωνος, Ἀθανασίου καὶ Κυρίλλου* [16]) *(φ. 144). Ἀντίπα τοῦ θαυματούργου· Γρηγορίου τοῦ θαυματούργου. Γρηγορίου τοῦ Ἀγραγαντίνων· Μητρο-*

---

[1]) ibid. *φ.* 25 это дѣйствіе описывается такъ: послѣ: *θύεται ὁ ἀμνός ... σωτηρίας: Καὶ μετὰ ταῦτα, ἐκχέει τὸ νᾶμα καὶ τὸ ὕδωρ εἰς τὸ ἅγιον ποτήριον λέγει· Εἷς τῶν στρατιωτῶν λόγχῃ..... καὶ ἀληθινὴ.... αὐτοῦ. Ἕνωσις Πνεύματος ἁγίου. Ἀμήν.*

[2]) ibid. *φ.* 25: *Καὶ μετὰ τοῦτο λαμβάνει τὴν ἑτέραν προσφορὰν καὶ λέγει.*

[3]) ibid. *Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην διὰ πρεσβειῶν τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

[4]) ibid. *φ.* 197 нѣтъ: *καὶ πρεσβείαν.*

[5]) ibid. *τῆς ὑπερενδόξου.*

[6]) ibid. *ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.*

[7]) № 381, *φ.* 25: *Εἶτα λαμβάνει τὴν τρίτην προσφορὰν καὶ λέγει.*

[8]) ibid. *φ.* 197: *τὴν γ'.*

[9]) ibid. *φ.* 25 нѣтъ: *τῇ.*

[10]) ibid. *φ.* 25 нѣтъ: *προστασίαις.*

[11]) ibid. *φ.* 197 далѣе разобрать не возможно

[12]) ibid. *φ.* 25 об : *τοῦ τιμίου ἐνδόξου*

[13]) ibid. *φ.* 25 об. нѣтъ: *τῶν ιβ' καὶ τῶν ο'.*—*φ.* 197 об. вѣроятно стояло поименное перечисленіе апостоловъ, такъ какъ можно разобрать слова: *Βαρθολομαίου, Σίμωνας καὶ τῶν λοιπῶν ἁγίων ἀποστόλων.*

[14]) ibid. *φ.* 25 об.· *ἁγίων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου· τοῦ ἁγίου τῆς ἡμέρας, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.*

[15]) ibid. *φ.* 197 об.: *Ἰακώβου τοῦ ἀδελφοθείου.*

[16]) ibid. *Καὶ τῶν ἑτέρων ἁγίων ἱεραρχῶν. Ἀντίπα..... καὶ πάντων ἱεραρχῶν*—нѣтъ.

φάνου Κωνσταντινουπόλεως· Στεφάνου τοῦ πρωτομαρτύρου καὶ πάντων ἱεραρχῶν. Τῶν ἁγίων καὶ [1]) ἐνδόξων μεγάλων μαρτύρων· Γεωργίου, Δημητρίου, Προκοπίου, Ἀρτεμίου· Μερκουρίου, Θεωδόρου τοῦ στρατυλάτου καὶ Θεοδώρου τοῦ Τύρων [2]) καὶ τῶν σὺν αὐτοῖς [3]) Τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἀναργύρων· Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου· Παντελεήμωνος καὶ Ἑρμολάου Σαμψῶν [4]) καὶ Διομήδους Θαλλελαίου καὶ Μωκ (Μωκίου?) Κωνσταντίνου καὶ Ἑλένης καὶ τῶν σὺν αὐτοῖς. Τῶν ἁγίων ἐνδόξων προφητῶν. Ἡλίου καὶ Ἐλισαίου. Ἡσαίου [5]). Ἱερεμίου· Ἰεζεκιήλ Ἀμβακούμ Δανιὴλ καὶ Δαυὶδ τοῦ θεοπατέρου. Τῶν [6]) ἁγίων πατριαρχῶν Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακώβ· τῶν ἁγίων Θεοπατέρων Ἰωακεὶμ καὶ Ἄννης· Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· Αντωνίου [7]), Εὐθυμίου, Σάββα, Θεοδοσίου. Παχωμίου [8]), Ὀνουφρίου, Ἐφραὶμ [9]), Ἰωάννου τοῦ τῆς κλίμακος Θεοδώρου τοῦ Στουδίτου· Ἰωάννου τοῦ Δαμασκινοῦ· Δανιὴλ τοῦ στυλίτου· Θεοφανίου τοῦ ὁμολογητοῦ, Χριστοφόρου τοῦ θαυματούργου· Γρηγορίου τοῦ νέου, Στεφάνου τοῦ νέου· Ἀρσενίου τοῦ μεγάλου καὶ Ἀρσενίου τοῦ ἐν τῷ Λάτρ. Ἀκακίου καὶ Παύλου· Νείλου· Λαζάρου τοῦ ἐν τῷ γαλλισίῳ Καὶ τῶν σὺν αὐτοῖς πατέρων ὁσίων προπατέρων ἡμῶν. Τῶν ἁγίων καὶ καλλινίκων [10]) γυναικῶν· Θέκλας, Βαρβάρας, Εὐφημίας [11]), Αἰκατερίνης, Μαρίνας, Ἀναστασίας [12]), Θεοδοσίας· Τῆς θαυματούργ. Παρασκευῆς καὶ Θωμαΐδος (φ. 144 οβ.) ξένης τῆς Ῥωμαίας, καὶ πάντων ὁσίων γυναικῶν [13]). Καὶ τῇ πρεσβείᾳ τοῦ ἁγίου, τοῦδε [14]), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων· ὧν ταῖς

---

[1]) № 381, φ. 197 об. нѣтъ: καὶ.

[2]) ibid. τοῦ Τύρωνος.

[3]) ibid. καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων.

[4]) ibid. нѣтъ: Σαμψῶν καὶ Διομήδους· Θαλλελαίου καὶ Μωκίου. Κωνσταντίνου καὶ Ἑλένης καὶ τῶν σὺν αὐτοῖς.

[5]) ibid нѣтъ: Ἡσαίου, Ἱερεμίου.... τοῦ θεοπατέρου.

[6]) ibid. нѣтъ: τῶν ἁγίων πατριαρχῶν..... Ἰακώβ.

[7]) ibid. Ἀρτεμίου.

[8]) ibid. нѣтъ: Παχωμίου, Ὀνουφρίου.

[9]) ibid. Ἐφραὶμ, Ἀρσενίου τοῦ καὶ παντὸς πνεύματος διακαίου ἐν πίστει τετελειμένου.

[10]) № 381, φ. 197 об. πανευφήμων

[11]) ibid. Εὐφημίας τῆς πανευφήμου стоитъ послѣ Μαρίνης.

[12]) ibid. нѣтъ: Ἀναστασίας, Θεοδοσίας..... Ῥωμαίας.

[13]) ibid. καὶ τῶν ἑτέρων ἁγίων γυναικῶν.

[14]) ibid Τοῦ ἁγίου καὶ ἐνδόξου, οὗ καὶ τὴν μνήμην....

ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεος καὶ [1]) *μνήσθητι καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ*

Καὶ λαβὼν [2]) *ἑτέραν προσφορὰν λέγει· Ἔτι* [3]) *δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν Ἀνδρονίκου καὶ Εἰρήνης· Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τοῦδε· Ὑπὲρ τοῦ πατρὸς ἡμῶν τοῦ καθηγουμένου καὶ πάντων τῶν ἐν Χριστῷ ἀδελφῶν· Ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων· Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων· Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων. Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς. Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις· Ὑπὲρ τῶν ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς καὶ πάντων καὶ πασῶν.*

Καὶ λαβὼν ἑτέραν προσφορὰν [4]) *λέγει· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων γενομένων ἀοιδίμων βασιλέων ἡμῶν καὶ κτητόρων· καὶ πάντων τῶν ἐνθάδε κειμένων καὶ ἀπανταχοῦ ὀρθοδόξων καὶ πάντων καὶ πασῶν.*

Καὶ [5]) *βάλλων τὸ θυμίαμα, λέγει τὴν εὐχὴν τοῦ θυμιάματος.*

---

[1]) ibid. нѣтъ: *καὶ μνήσθητι ἐμου τοῦ ἁμαρτωλοῦ.*

[2]) ibid. *φ.* 25 об.: *Καὶ εἰς τὴν δ' προσφορὰν, λέγει.*

[3]) ibid. *φ.* 197 об.: *Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων βασιλέων ἡμῶν· Παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν· Μνήσθητι, Κύριε, τοῦ ἐπισκόπου ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος. Μνήσθητι, Κύριε, τοῦ πατρὸς ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος (φ.* 198). Далѣе разобрать невозможно. *Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τῆς ἐμῆς ἀναξιότητος, καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Φυλ.* 25 об. формула поминовенія такая: *Καὶ μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦ δεῖνος* (на полѣ: *ἐνταῦθα μνημονεύονται οἱ βασιλεῖς κατ' ὄνομον. Εἶτα μνημονεύει ὃς θέλη ζώντας καὶ τεθνεότας*), *τοῦ πατρὸς ἡμῶν, τοῦ δεῖνος, τοῦ ἡγουμένου καὶ πάσης ἐν Χριστῷ ἡμῶν ἀδελφότητος· Μνήσθητι, Κύριε, τοῦ τιμίου πρεσβυτερίου. ... τάγματος* (какъ на л. 197 об.). *Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων. Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων.... στραπέδου αὐτῶν* (какъ на л. 197 об) *Μνήσθητι Κύριε, τῆς ἁγίας μονῆς ταύτης, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν (φ.* 26)· *Μνήσθητι, Κύριε, τῶν ἐπὶ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ ἀνάπαυσον αὐτοὺς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος.... ἀκούσιον* (какъ на л. 198).

[4]) № 381, *φ.* 26 и 198. не указывается сей просфоры и поминовенія на ней.

[5]) ibid. *Ὁ δὲ διάκονος λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα, ἔρχεται εἰς τὸν ἱερέα καὶ λέγει· Εὐλόγησον δέσποτα τὸ θυμίαμα. Καὶ ὁ ἱερεὺς σφραγίζει αὐτὸ λέγων· Θυμίαμα. (φ.* 198 вся молитва).

Καὶ [1]) *λαμβάνει τὸν ἀστερίσκον λέγει· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Καὶ* [2]) *ἰδοὺ ἀστὴρ ὢν (ὃν εἶδον?) ἐν τῇ ἀνατολῇ ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον· πάντοτε* [3]), *νῦν καὶ ἀεί. Καὶ τίθησιν* [4]) *αὐτὸ ἐπάνω τοῦ ἀμνοῦ. Καὶ λαμβάνει κάλυμμα, λέγει· Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν Εἰς δὲ* [5]) *τὸ β'.· ἐκάλυψε οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ* [6]). *πάντοτε, νῦν· Εἰς δὲ* [7]) *τὸν ἀέρα· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν* [8]). *Εἶτα* [9]) *ὁ διάκων· ἐπὶ τῇ προθέσει τῶν* [10]) *τιμίων δώρων* [11]). *Καὶ ὁ ἱερεὺς* [12]) *τὴν εὐχὴν τῆς προθέσεως* [13]). *Καὶ θυμιάσας αὐτὰ, ποιοῦσιν ἡσύχως ἀπόλυσιν καὶ* [14]) *συγχώρησιν ἀμφοτέρω καὶ ἐξέρχονται* [15]).

---

[1]) ibid. *Καὶ μετὰ τὴν εὐχὴν καπνίζει ὁ ἱερεὺς τὸν ἀστερίσκον, τοῦ διακόνου λέγοντος Τοῦ Κυρίου δεηθῶμεν. Καὶ τίθησιν αὐτὸν ἐπάνω τῶν ἁγίων δώρων καὶ λέγει· Τῷ λόγῳ Κυρίου... ἡ δύναμις αὐτῶν.*

[2]) № 381, *φ.* 26 нѣтъ: *καὶ ἰδοὺ ἀστὴρ..... νῦν καὶ ἀεί, φ.* 198 нѣтъ: *ἰδοὺ ἀστὴρ ἐν τῇ ἀνατολῇ.*

[3]) *φ.* 198 нѣтъ: *πάντοτε, νῦν καὶ ἀεί.*

[4]) ibid. и *φ.* 26: *καὶ πάλιν καπνίζει ὁ ἱερεὺς τὸ κάλυμμα· κἀκεῖ λέγοντος τοῦ διακόνου. Τοῦ Κυρίου δεηθῶμεν· καὶ τίθησιν ἐπάνω τοῦ ἀστερίσκου, λέγων· Ὁ Κύριος ἐβασίλευσεν. εὐπρέπιαν ἐνεδύσατο Κύριος δύναμιν ἵως τέλους.*

[5]) ibid. *Ὁμοίως καπνίζει καὶ τὸ ἕτερον κάλυμμα, λέγοντος τοῦ διακόνου. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ τίθησιν αὐτὸ εἰς τὸ ἅγιον ποτήριον λέγων· Ἐκάλυψε (φ.* 26 об.*) οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.*

[6]) ibid. нѣтъ: *πάντοτε, νῦν.*

[7]) *Ὁμοίως καπνείζει καὶ τὸν ἀέρα καὶ λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν, τίθησιν ἐπάνω τοῦ τε δίσκου καὶ τοῦ ποτηρίου, λέγων. Σκέπασον....*

[8]) ibid. 26 об. и 198 об.: *πτερύγων σοῦ· πάντοτε, νῦν· (φ.* 198 об.: *καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων).*

[9]) ibid. *Εἶτα πάλιν λέγοντος τοῦ διακόνου ἐπὶ τῇ προθέσει... (φ.* 198 об.: *Εἶτα πάλιν διάκονος λέγει).*

[10]) ibid. нѣтъ: *τῶν.*

[11]) ibid. *δώρων. Τοῦ Κυρίου δεηθῶμεν.*

[12]) ibid. *λέγει ὁ ἱερεὺς τὴν εὐχὴν (φ.* 198 об.: *Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τόν).*

[13]) ibid. *φ.* 26 об.: *καὶ ποιεῖ ἀπόλυσιν.*

[14]) ibid. *φ.* 26 об. и 198 об. нѣтъ: *και συνχώρησιν ἀμφοτέρω καὶ ἐξέρχονται.*

[15]) ibid. *καὶ (φ.* 26 об. нѣтъ: *καί) ὁ διάκονος ψάλλων ν'. (φ.* 26 об.: *τὸν ν'.), θυμιᾷ σταυρωειδῶς τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον ὅλον· ὡσαύτως καὶ τὸν ναὸν ἅπαντα,* (этимъ кончается чинъ проскомидіи на л. 198 об.,

VI.

Сокращенный текстъ толкованія на литургію св. Германа, патріарха Константинопольскаго, по рукописи XVI в. Синодальной библіотеки № 276, *фул.* 232 об.—243.

Ἑρμηνεία τῆς θείας λειτουργίας· κεφάλαιον (φ. 232). Γερμανοῦ Κωνσταντινουπόλεως [1]).

Ἄρχεται οὖν ὁ ἱερεὺς θύειν τὸν ἀμνὸν καὶ λόγον τοῦ Θεοῦ, καθῶς [2]) *ἠθέλησεν σφραγισθῆναι ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ δέδωκεν αὐτον· καθ' ἑκάστην θύεται* [3]) *παρὰ τῶν ἱερέων ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· διὸ καὶ ὡς ἐν κρανίου τόπῳ σταυρωθεὶς οὕτως ἐν τῇ ἁγίᾳ προθέσει θύεται παρὰ τοῦ ἱερέως, διὰ γὰρ τοῦτο μετὰ τῆς λόγχης θύεται, ἵνα δείξῃ ὡς ἐν τῷ πάθει αὐτοῦ λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξεν· καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, ἅπερ προσφέρει ὁ ἱερεὺς θυσίαν ὑπὲρ τοῦ λαοῦ. Μηδεὶς οὖν δοκῇ* [4]), *ὅτι ἀντίτυπά εἰσι ταῦτα τοῦ σώματος τοῦ Χριστοῦ, ἀλλ' αὐτὸς ὁ ἄρτος ὁ θυόμενος καὶ ὁ οἶνος ὁ προσφερόμενος αὐτά εἰσιν τὸ ἅγιον σῶμα καὶ* [5]) *αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθῶς εἴρηκεν αὐ-*

на л. 26 об. далѣе слѣдуетъ): *ἀρχόμενος ἀπο τοῦ βορίου μέρους αὐτοῦ. Καὶ μετὰ τὸ θυμιᾶσαι τὸν διάκονον, ἵσταται ὁ ἱερεὺς καὶ ὁ διάκονος κατὰ ἀνατολὰς ἐνώπιον τῆς ἁγίας τραπέζης καὶ ποιοῦσι τρεῖς μετανοίας, λέγοντος εἰς ἑαυτὸν τοῦ ἱερέως. Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, δὸς ἡμῖν προθυμίαν καὶ ἰσχὺν ἐκτελέσθαι μετὰ φόβου καὶ προσοχῆς τὴν θείαν ἱερουργίαν. Καὶ μετὰ τοῦτο ἀσπάζονται ὁ μὲν ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, ὁ δὲ διάκονος τὸ δεξιὸν τῆς ἁγίας τραπέζης. Εἶτα προσκυνεῖ ὁ διάκονος τὸν ἱερέα κρατῶν τὸ ὡράριον ἐν τῇ δεξιᾷ χειρὶ καὶ λέγων. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ. Δέσποτα εὐλόγησον. Καὶ ὁ ἱερεὺς πρὸς αὐτόν· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε. Καὶ πάλιν ὁ διάκονος (φ. 27) πρὸς τὸν ἱερέα· Εὔξαι ὑπὲρ ἐμοῦ δέσποτα. Κἀκεῖνος πρὸς τὸν διάκονον· Κατευθύναι Κύριος τὰ διαβήματά σου. Καὶ πάλιν πρὸς αὐτὸν ὁ διάκονος Μνήσθητί μου δέσποτα. Καὶ ὁ ἱερεὺς πρὸς αὐτὸν· Μνησθείη σου Κύριος ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ ἐξέρχεται ὁ διάκονος ἀπὸ τοῦ βορίου μέρους. Καὶ ἱστάμενος ἔμπροσθεν τῶν ἁγίων θυρῶν, προσκυνεῖ κατὰ ἀνατολὰς, καὶ λέγει. Εὐλόγησον δέσποτα. Καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· Εὐλογημένη ἡ βασιλεία...*

[1]) Киноварью. Слова: *Ἑρμανοῦ Κωνσταντινουπόλεως* написаны на полѣ 232 л. об , противъ словъ: *ἄρχεται οὖν.....*

[2]) Ркп. № 364, *φ.* 528: *ἐκεῖνος ἠθέλησεν.*

[3]) ibid. *θύεσθαι.*

[4]) ibid. *δοκεῖ.*

[5]) ibid. нѣтъ: *καὶ αἷμα (φυλ.* 528 об *).*

τὸς [1]) ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ μυστικῷ αὐτοῦ δείπνῳ, λάβετε [2]), φάγετε τοῦτό ἐστι τὸ σῶμά μου". διὸ καὶ ὡς ἀναγκαῖον ἐπιδείξομεν [3]) τὸ ἔργον τοῦτο τῆς ἁγίας λειτουργίας [4])

Ἀρχὴ ἡ πρόθεσις [5]), ὅπου ἡ προσκομιδὴ ἐπιτελεῖται, ἐστὶν ἀντὶ τοῦ κρανίου τόπου. Τὸ εἰλητὸν σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλήθη [6]) τὸ σῶμα τοῦ Χριστοῦ [7]), ἐκ τοῦ σταυροῦ καταβὰς [8]) καὶ ἐν μνήματι [9]) τεθέν [10]).

(φ. 233). Καὶ ἡ ἐπάνω κάλυψις τοῦ δίσκου, ἐμφαίνει τὴν σινδόνα, ᾗ εἵλιξαν τὸ σῶμα τοῦ Κυρίου. Τὸ δὲ δισκοκάλυμμά ἐστιν ἀντὶ τοῦ σουδαρίου ὄντος [11]) ἐπὶ τοῦ προσώπου περικαλύπτοντος αὐτὸ ἐν τάφῳ [12]) Ὁ ἀὴρ [13]) ἐστι καὶ λέγεται ἀντὶ τοῦ λίθου οὗ [14])

---

[1]) ibid. нѣтъ· αὐτός.

[2]) ibid. λάβεται τοῦτο ἐπιν. τὸ σῶμά μου.

[3]) ibid. ἐπίδοξον.

[4]) Въ толковании іерус. патріарха Софронія также находимъ. „Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καθ' ἑκάστην καταθυόμενος περὶ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας, ὡς ἐν κρανίου τόπῳ σταυρωθείς, οὗτος καὶ ἐν τῇ ἁγίᾳ προθέσει παρὰ τοῦ ἱερέως· μετὰ λόγχης δὲ ἵνα μὴ ἐπιλανθαιόμεθα τῆς ἐν τῷ ἁγίῳ πάθει τοῦ σταυροῦ μετὰ λόγχης νυγείσης ἀχράντου πλευρᾶς, ὑπηνὶ καὶνυθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, εἰς ἀφθαρσίαν καὶ ἀνάπλασιν τοῦ παντὸς, ἅπερ προσφέρει ὁ ἱερεὺς θυσίαν ὑπὲρ τοῦ λαοῦ.—Μηδεὶς οὖν δοκείτω ἀντίτυπα εἶναι τὰ ἅγια τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, ἀλλὰ τὸν ἄρτον καὶ τὸν οἶνον τιστιεύτω προσφερόμενον μεταβάλλεσθαι εἰς σῶμα καὶ αἷμα Χριστοῦ. Angeli Maji, Spicilegium Romanum, t. IV, p. 33 и 37.

[5]) У Миня: τὸ δὲ σκευοφυλάκιον ὅπου ἡ προσκομιδὴ 400 B. У Мил 330: ἡ γινομένη προσκομιδὴ ἐν τῷ σκευοφυλακίῳ ἐμφαίνει τὸν τοῦ κρανίου τόπον, ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός. ср. Migne. 396. B.

[6]) У Миллес'а: ἐνειλίχθη, вариантъ: εἰλίχθη. Ркп. № 364: ἐν ᾧ ηλίθη.

[7]) ibid. и ркп. № 364 ὁ Χριστὸς.

[8]) Такъ и въ ркп. Син. библ. № 327. У Миня· καταβάν; у Миллес'а: καταβιβασθείς, вар : καταβάν.

[9]) Въ ркп. № 327, № 364 и у Миллес'а μνημείῳ.

[10]) ibid. и ркп. № 364: τεθείς; у Миллес'а въ вариантахъ: τεθέν.

[11]) у Миня: τοῦ ὄντος.

[12]) У Миня: τῷ τάφῳ. У Миллес'а „τὸ δισκοκάλυμμά ἐστιν ἀντὶ τοῦ σουδαρίου, ὃ ἦν ἐντεταλιγμένον (вариантъ: ἐπὶ τοῦ προσώπου αὐτοῦ περικάλυπτον αὐτὸν ἐν τῷ τάφῳ) ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἐν τῷ τάφῳ. Въ ркп. № 327 и № 364, φ. 531· τὸ δὲ. .. ., ὃ ἦν ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ προσώπου τοῦ Χριστοῦ, (№ 364 нѣтъ: Χριστοῦ) περικαλύπτον αὐτὸν ἐν τῷ τάφῳ" (фул. 266 об.).

[13]) У Миня и въ ркп. № 327, № 364 τὸ καταπέτασμα ἤτουν ὁ ἀὴρ ἐστι καί..... У Миллеса. τὸ καταπέτασμα, ἤτοι ο ἀὴρ, ἐστιν. ..

[14]) У Миллеса: μεθ' οὗ.

ἡσφαλίσατο [1]) τὸ μνημεῖον ὁ Ἰωσὴφ, ὅπερ [2]) ἐσφράγισεν ἡ πλάξ τῆς κουστωδίας [3]). Ἰδοὺ ἐσταύρωται ὁ Χριστὸς, τέθαπται ἡ ζωὴ, ἠσφαλίσθη ὁ τάφος. Καὶ εὐθέως [4]) ὁ θυμιατὴρ [5]), ὁποῖος [6]) ὑποδεικνύει τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, τὸ πὺρ τὴν θεότητα [7])· καὶ ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν [8]) τοῦ ἁγίου Πνεύματος προπορευομένην [9]). Ὁ γὰρ θυμιατὴρ [10]) ἑρμηνεύεται εὐωδεστάτη [11]) εὐφροσύνη Τὸ δὲ θυμίαμα [12]) ἀντὶ τῶν ἀρωμάτων, ἃ προσέφερον εἰς τὸν ἐνταφιασμὸν τοῦ Κυρίου· καὶ ἡ σμύρνα, καὶ ὁ λίβανος τῶν μάγων, ἡ καθαρὰ προσευχὴ τῶν ἀγαθῶν ἔργων, ἐξ ὧν ἡ εὐωδία ἔρχεται, καθώς φυσιν ὁ Ἀπόστολος „Χριστοῦ εὐωδία ἐσμέν“ [13]).

Γνῶτε οὖν πάντες οἱ ἱερεῖς, οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ προσεδρεύοντες, καὶ τὴν ἀναίμακτον θυσίαν ἱερουργοῦντες, ὅτι τὰ ζωηρὰ πάθη τοῦ Χριστοῦ καταγγέλλομεν· δίδοται τοίνυν καιρὸς παρὰ τοῦ

---

1) ibid. въ варіантахъ. σφαλίσατο. Въ ркп. № 327: ἐσφάλισε.

2) Миллесъ, ркп. 327 (φ. 267) и № 364 (φ. 530 об.). ὅνπερ.

3) Миллесъ и ркп. № 327: ἡ τοῦ Πιλάτου κουστωδία.

4) у Миллеса и въ ркп. № 327 нѣтъ.

5) У Миллеса варіантъ: ὁ θυμιατός. Въ ркп. № 364: ὁ δὲ θυμιατήρ.

6) Нѣтъ во всѣхъ.

7) У Миллеса· „τῷ πυρὶ τῆς θεότητος ἑνωθεῖσαν“ (p. 330). Ркп. № 327: ὁ θυμιατὴρ δεικνύει τὴν εὐωδίαν τοῦ αγίου πνευματος προπορευσομένην“ (φυλ. 263 об. коп.). Въ ркп. № 364 нѣтъ: τὸ πὺρ τὴν θεότητα

8) Миллесъ „τὴν εὐωδίαν μυνύει“.

9) Ркп. № 364: προπορευομένη, ἢ πάλιν θυμιατήριον νοηθείη· ἂν ἡ μήτρα τῆς Παρθένου, φερούσασα τὸν ἄνθρακα Χριστόν· ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· διὸ καὶ τὴν ὁσμὴν ἐβοδιάζων τὰ σύμπαντα (φυλ. 530 кон.). Въ ркп слав. Синод. библ. № 163. „ли пакы среда кадильници. разоумѣютьсѧ ложесна дѣвы. ношьшаа бжии угль горѧщии х҃а. въ немьже живеть вьсе исполнение божьства. телесьскы. тѣмьже и воню благооуханиѧ вздаать. благооуханиѧ въздаать. благооухаѧ вьсѧчьскаѧ“ (лист. 249 об.). Въ ркп. той же библ. № 456, л. 458 и об.: „кадильница есть въ мѣсто бгопріѧтніѧ оутробы пречистіѧ бгородица. ѧкоже во кадилници оугли и во оуглю огнь. курѧщійсѧ бгооуханіѧ димовъ. такожде и бгопріѧтнаѧ оутроба бц҃ы. во зачатіи сн҃а Бжіѧ. ѧкоже въ оугліе въ пречистіѧ и дѣвственніѧ своѧ крови огнь Божества пріѧт. и съ дѣйствіемъ ст҃го Дха зачат сн҃а Бжіѧ. и благооуха вѣрныхъ чювства блгооуханіемъ Дха стго“.

10) У Миллеса. ἑρμηνεύεται δὲ θυμιατήρ, варіантъ: ὁ γὰρ θυμιατός ἐστιν εὐωδέστατος. Въ ркп. № 364 нѣтъ.

11) Во всѣхъ: εὐωδέστατος.

12) У Миня прибавлено: πεφυκεν.

13) У Миллеса и въ ркп. № 327 нѣтъ: τὸ δὲ θυμίαμα.... ἐσμέν и дальн.

ἀρχιερέως τῷ ἱερεῖ τῷ μέλλοντι (φ 233 об.) ἄρχεσθαι τῆς θείας μυσταγωγίας. Οὗτος δὲ ὁ καιρὸς σχηματίζει τὸν παρὰ τοῦ προφήτου Ἡσαΐου προαναφωνηθέντα καιρὸν τῆς τοῦ Προδρόμου Ἰωάννου γεννήσεως, καὶ τῆς τοῦ [1]) Χριστοῦ πρὸς ἡμᾶς ἐπιδημίας. Ὁ δέ γε γὰρ [2]) ἱερεὺς, ὁ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ποιούμενος, εἰκόνα φέρει τοῦ Προδρόμου [3]) καὶ βαπτιστοῦ προκαταρξαμένου τοῦ κηρύγματος, καὶ λέγοντος· „Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν“· καὶ βαπτίζοντος πάντας τοὺς προσερχομένους [4]).

Ὁ διάκων [5]) ἐκφωνεῖ [6])· Εὐλόγησον δέσποτα. Ἔπειτα [7]) ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Οὕτω τὴν πρώτην ἔχει τάξιν τῶν πρὸς τὸν Θεὸν ἐντεύξεων ἡ δοξολογία. Διὰ τοῦτο πρὸ πάσης εὐχῆς καὶ ἱερολογίας, ὁ ἱερεὺς δοξολογεῖ τὸν Θεόν [8]). Εὐλογημένη ἡ βασιλεία [9]) τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ὅτι διὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου πρώτης, ἔμαθον οἱ ἄνθρωποι, ὡς εἴη τρία πρόσωπα ὁ Θεός. Ταύτης [10]) δὲ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου μυσταγωγία ἐστὶ τὰ τελούμενα, ὅθεν ἐν τοῖς προοιμίοις αὐτῶν ἔθει προλάμπειν (φ. 234) καὶ κηρύττεσθαι τὴν τριάδα. Καὶ ὑπὸ τῶν ἄνω δυνάμεων δοξάζεται ὁ Θεὸς τρισὶν ἁγιασμοῖς, καὶ ὑπὸ ἀνθρώπων ἡ βασιλεία τοῦ Χριστοῦ εὐλογεῖται, ὃς δυνάμει θεότητος αὐτοῦ τὸν ᾅδην ἐσκύλευσε, καὶ ἡμᾶς ἠλευθέρωσε. Τὸ δὲ ἀμὴν, ἀληθῶς, ἢ γένοιτο

Ὁ διάκονος [11]). Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Διδασκει [12]) ἡμᾶς, ὅτι ἐν εἰρήνῃ εἶναι πρῶτον νὰ εὐχῶμεν καὶ πρῶτον ζητοῦμεν τὴν ἄνωθεν εἰρήνην καὶ τὴν τῶν ψυχῶν σωτηρίαν· ὅτι οὕτως

---

[1]) У Миня нѣтъ: *τοῦ*.

[2]) У Миня нѣтъ: *γαρ*.

[3]) ibid. *Ἰωάννου*.

[4]) У Миня послѣ сего слѣдуетъ: „*οἱ δὲ διάκονοί εἰσιν οἱ ποιμένες· οἱ ἱερεῖς εἰσιν οἱ ἄγγελοι*“.

[5]) Киноварью.

[6]) Тоже. У Миня нѣтъ этого слова.

[7]) Киноварью. У Миня нѣтъ.

[8]) У Миня послѣ сего слѣдуетъ: *Τί οὖν τὸ τρισσὸν ἐπιφημίζει τοῦ Θεοῦ, καὶ οὐ τὸ ἑνιαῖον; Οὐ γὰρ, εὐλογητὸς Θεὸς, ἢ, εὐλογημένη ἡ τοῦ Θεοῦ βασιλεία· ἀλλὰ τοῖς προσώποις διῃρημένος, Εὐλογημένη* и проч.

[9]) ibid. *φησί*.

[10]) ibid. *Ταύτῃ*.

[11]) Киноварью.

[12]) У Миня. *νῦν διδάσκει, πρῶτον δεῖν αἰτεῖσθαι τὴν ἄνωθεν εἰρήνην καὶ τὴν τῶν ψυχῶν σωτηρίαν. Οὕτω γὰρ ὁ Χριστὸς ἐκέλευσεν αἰτεῖσθαι. Μετὰ δὲ ἠρέμου νοὸς τὰς εὐχὰς ἡμῶν ἀποδωμεν. Τῆς παναγίας... ..*

εἶπεν ὁ Κύριός, ἵνα ζητῶμεν πρῶτον τὴν εἰρήνην. Τῆς παναγίας, ἀχράντου καὶ τὰ ἑξῆς. Τὰς πράξεις πάντων τῶν ἁγίων μνησθέντες [1]), ἕτερος τὸν ἕτερον, καὶ τὴν ζωὴν ἡμῶν ἅπασαν σὺν τοῖς καλοῖς ἡμῶν ἔργοις τῷ Θεῷ παραδώσωμεν.

Τὰ ἀντίφωνα [2]) εἰσὶ τῶν προφητῶν αἱ προρρήσεις, προκαταγγέλλουσαι [3]) τὴν παρουσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὴν ἐκ Παρθένου ἐπὶ γῆς βοῶσαι· Ὁ Θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

Εἰς τὸ δεύτερον ἀντίφωνον [4]). Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν [5]) τοῦτέστιν πάλιν τοῦ Κυρίου δεηθῶμεν περὶ εἰρήνης. Ὅτι σὸν τὸ (φ. 234 об.) κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὅτι σοῦ ἐστὶν ἡ κυρία, καὶ ἡ βασιλεία πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων, καὶ διὰ τοῦτο ἡμεῖς οἱ ἐπὶ γῆς τὴν εὐχαριστίαν ἅπαντες καὶ δόξαν ἀδιαλείπτως σοι ἀναπέμπομεν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Γένοιτο [6]).

Εἰς τὸ τρίτον ἀντίφωνον [7]). Ἔτι [8]) καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καί σοι τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Ἀγαθὸς Θεὸς, λέγομεν, καὶ φιλάνθρωπος εἶ, ὅτι τὸν Υἱόν σου εἰς τὸν κόσμον ἱλασμὸν ἀπέστειλας. Διὰ τοῦτο τὴν δόξαν καὶ εὐχαριστίαν σοι ἀναπέμπομεν, ὅ ἐστι, προσάγομεν νῦν καὶ πάντοτε εἰς τοὺς αἰῶνας.

---

[1]) ibid. *μνηθέντες*, напечатано: *μνηθεντες(?)*.

[2]) Миллесъ (р. 329) и ркп. № 327 (*φ.* 262 об.): *τῆς λειτουργίας*.

[3]) Миллесъ: „*προκαταγγελλόντων* (вар.: *προκαταγγέλλουσαι*) *τὴν ἐκ Παρθένου τοῦ υἱοῦ τοῦ θεοῦ παρουσίαν ἐπὶ τῆς γῆς, καὶ βοώντων* (вар. *βοῶσαι*)· *ὁ θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη*“ (р. 329). Ркп. № 327: *προκαταγγέλλουσαι..... βοώντων· ὁ Θεὸς... ὤφθη καὶ εὐπρέπειαν ἐνεδύσατο, ἤγουν τὴν σάρκωσιν αὐτοῦ δηλοῦντες· ἣν ἡμεῖς ὑποδεξάμενοι καὶ μαθόντες διὰ τῶν ὑπηρετῶν καὶ αὐτοπτῶν τοῦ λόγου γενομένων, διὰ τηρὸν ταύτην ἀνακηρύττομεν.* (*φ.* 262 об.) Минь: *ὤφθη καὶ εὐπρέπειαν ἐνεδύσατο..... δηλοῦσαι, ἣν... γενομένων τῶν ἀποστόλων λέγομεν. Χρὴ δὲ εἰδέναι* и проч.

[4]) Киноварью. У Миня: *Ἀντίφωνον α'*.

[5]) У Миня далѣе слѣдуетъ: *ἀκμὴν καὶ ἀκμὴν μετὰ ἠρέμου νοὸς τοῦ Κυρίου δεηθῶμεν. Ἐκφώνως. Ὅτι σὸν* и проч.

[6]) У Миня: *ἀμὴν, ἔστιν, ἀληθῶς, ἦ, γένοιτο*.

[7]) ibid. *Ἀντίφωνον β'*.

[8]) ibid. *Ὁ διάκονος· „Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ“. Ὁ ἱερεὺς ἐκφώνως· „Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος.... νῦν*.

Ἡ [1]) εἴσοδος τοῦ εὐαγγελίου [2]) ἐμφαίνει τὴν παρουσίαν [3]) τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ τὴν εἴσοδον τὴν εἰς τὸν κόσμον τοῦτον [4]). Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ [5]), σῶσον ἡμᾶς Υἱὲ Θεοῦ [6]). Πρῶτον αὐτῷ κλίνωμεν γόνυ, ὡς ὑπεύθυνοι ὄντες, καὶ τότε συγχώρησιν αὐτῷ αἰτήσωμεν (φ. 235), ὧν ὀφείλομεν αὐτῷ, καὶ κηρύττωμεν αὐτοῦ τὴν παρουσίαν, φανερωθεῖσαν ἡμῖν [7]). Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν [8]).

Ὁ τρισάγιος [9]) ὕμνος, ἐστὶ μὲν [10]) οὕτως [11]) τῶν ἀσωμάτων τὸ ἄσμα βοῶντες πιστῶς, καὶ λέγοντες· „Ἅγιος ὁ Θεὸς“· ὁ Θεὸς ἤτοι ὁ Πατὴρ· „Ἅγιος ἰσχυρός“· ὁ Υἱὸς καὶ Λόγος, διότι [12]) τὸν καθ ἡμῶν ἰσχυρὸν διάβολον δεσμεύσας [13]), κατήργησε διὰ τοῦ σταυροῦ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ τὴν ζωὴν [14]) καὶ τὴν ἰσχὺν καὶ τὴν ἐξουσίαν ἡμῖν [15]) ἔδωκε τοῦ πατεῖν ἐπάνω αὐτοῦ. „Ἅγιος ἀθάνατος“· τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιὸν [16]), δι' οὗ πᾶσα ἡ

---

[1]) Въ ркп. № 327 нѣтъ.

[2]) Миллесъ: ἡ τοῦ εὐαγγελίου εἴσοδος, варіантъ· ὁ τοῦ εὐαγγελίου εἴσοδος.

[3]) Миллесъ и ркп. № 327: καὶ τὴν εἴσοδον τοῦ Υἱοῦ....

[4]) Ркп. № 327 и Минь: ὡς λέγει (ркп. № 327: καθὼς φησὶ ὁ Ἀπόστολος· Ὅταν εἰσάγῃ (Минь: εἰσαγάγῃ), εἴτουν (Минь: ἤγουν) ὁ Θεὸς καὶ Πατὴρ, τὸν Πρωτότοκον и проч. У Миллеса нѣтъ: τοῦτον.

[5]) № 327 нѣтъ: αὐτῷ (φ. 263).

[6]) ibid. καὶ κηρύττωμεν τὴν παρουσίαν φανερωθεῖσαν ἡμῖν ἐν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

[7]) Минь: ἐν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

[8]) ibid. и въ ркп. № 327 нѣтъ: ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

[9]) Миллесъ: „ὁ δὲ ἅγιος“. № 327: τρισάγιον ὕμνος.

[10]) у Миллеса нѣтъ: μὲν, а въ ркп. № 327 нѣтъ: ἐστὶ μέν.

[11]) Миллесъ: ἐκεῖ μὲν οἱ ἄγγελοι εἶπον· δόξα ἐν ὑψίστοις, καὶ οἱ μάγοι τὰ δῶρα προσέφερον· ἐνταῦθα δὲ ἡμεῖς ὡς οἱ μάγοι φέροντες τῷ Χριστῷ δῶρα, πίστιν, ἐλπίδα καὶ ἀγάπην, ὡς χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τὸ ἀσώματον (вар.: τῶν ἀσωμάτων ἄσμα) ἄσμα βοῶμεν πιστῶς· ἅγιος ὁ Θεός (р. 329). Ркп. № 327: ἐκεῖ μὲν ἄγγελοι εἶπον· δόξα ἐν ὑψίστοις Θεῷ. Ταῦτα δὲ ὡς οἱ μάγοι τὰ δῶρα ἡμεῖς προσφέροντες τῷ Χριστῷ (πι) στιν, ἐλπίδα καὶ ἀγάπην, ὡς χρυσὸν καὶ λίβανον καὶ σμύρναν τῶν ἀσωμάτων (въ изданіи Н. Ѳ. Красносельцева: ἀσμάτων?) ἄσμα βοῶντες πιστῶς..... (φ. 263). У Миня: ὡς ἐκεῖ μὲν οἱ ἄγγελοι εἶπον· „ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε“! Καὶ, „Δόξα ἐν ὑψίστοις Θεῷ“. Ἐνταῦθα δὲ ὡς οἱ μάγοι τὰ δῶρα προσφέροντες.... (какъ въ ркп. № 327).

[12]) № 327: ὅτι.

[13]) ibid. δείσας.

[14]) № 327 прибавл. ἡμῶν.

[15]) ibid. нѣтъ: καὶ τὴν ἰσχὺν καὶ τὴν ἐξουσίαν ἡμῖν. (φ. 263).

[16]) Въ изданіи Н. Ѳ. Красносельцева (свѣд. о литург. ркп. Ватик. библ. стр. 345) пропущены слова: „ζωοποιοῦν· Δι' οὗ πᾶσα κτίσις ζωο-

κτίοις ζωοποιεῖται, καὶ διαμένει, καὶ βοᾷ λέγουσα· Ἐλέησον ἡμᾶς. Ὁ παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον καὶ τῆς ἀληθείας, ὁ τὴν θυσίαν τελεσιουργῶν, καὶ ἀεὶ ἐπιφοιτῶν τοῖς τέκνοις τῆς ἐκκλησίας, καὶ ἐλεεῖ καὶ ἀθανατοῖ διὰ τοῦ βαπτισματος [1]).

Τὸ δὲ [2]) ἀνελθεῖν ἐν τῷ συνθρόνῳ [3]) τὸν ἀρχιερέα, καὶ σφραγίσαι τὸν λαὸν, ἔστιν, ὅτι [4]) ὁ Υἱὸς τοῦ Θεοῦ [5]) μέλλων πληροῦν τὴν κατὰ [6]) σάρκα ἡμῶν οἰκονομίαν [7]), ἐπάρας τὰς χεῖρας αὐτοῦ [8]), εὐλόγησε τοὺς ἁγίους [9]) αὐτοῦ μαθητὰς, λέγων αὐτοῖς· „εἰρήνην ἀφίημι ὑμῖν". Δεικνύων, ὅτι τὴν αὐτὴν εἰρήνην καὶ εὐλογίαν δέδωκε τῷ κόσμῳ ὁ Χριστὸς διὰ τῶν ἀποστόλων αὐτοῦ [10]).

(φ. 235 об.). Μετὰ δὲ τὸν τρισάγιον ὕμνον, ἀναγινώσκεται βιβλίον ἀποστολικὸν, καὶ λέγει ὁ διάκονος. Πρόσχωμεν, ἀκουτισθῶμεν, ἐνωτισθῶμεν πάντες μετὰ ἡρέμου νοός. Σοφία. Ψαλμὸς τοῦ Δαβίδ. Ὁ λόγος τοῦ Θεοῦ ὁ ἅγιος καὶ ἀγαπητὸς, ἀναγγέλλει τὰ τοῦ Πατρὸς, ἃ εἰσιν ἀπόκρυφα. Τὸ [11]) προκείμενον μηνύει [12]) πάλιν [13]), τὴν τῶν προφητῶν ἐκφαντορίαν, καὶ τὴν [14]) προμήνυσιν τῆς τοῦ βασιλέως Χριστοῦ παρουσίας [15]). Μετὰ δε [16]) καὶ ἡ τῶν ἀποστόλων κλῆσις καὶ ἡ ἀνάδειξις αὐτῶν ἀναφαίνεται διὰ τῆς τῶν Πράξεων αὐτῶν, ἢ τῶν ἐπιστολῶν ἀναγνώσεως. Τὸ Ἀλληλούια, βοᾷ Δαβὶδ, καὶ λέγει· „Ὁ Θεὸς ἡμῶν ἐμφανῶς ἥξει, καὶ πὺρ ἐνώπιον αὐτοῦ προπυρεύσεται". Ἔφαναν αἱ ἀστραπαὶ τῶν εὐαγγελιστῶν [17]). Τῇ γὰρ

ποιεῖται", и издано такъ: τὸ πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιεῖται καὶ βοᾷ· ἐλέησον ἡμᾶς.

[1]) Въ ркп. № 327 нѣтъ· ὁ Παράκλητος..... βαπτίσματος.

[2]) δὲ нѣтъ въ ркп. № 327 и у Миллеса.

[3]) Миллесъ: εἰς τὸν σύνθρονον.

[4]) ibid. вм. „ἔστιν, ὅτι" стоитъ: τοῦτο δηλοῖ. Въ ркп. № 327 нѣтъ: ὅτι.

[5]) № 327: ὅτε ἐπλήρωσε τὴν οἰκονομίαν ἐπάρας τὰς χεῖρας.....

[6]) Миллесъ: πληροῦν τὴν ὑπὲρ ἡμῶν κατὰ σάρκα...

[7]) Въ изд. Дуки какъ въ нашей рукоп. (См. у Миллеса въ варіантахъ).

[8]) у Миллеса нѣтъ αὐτοῦ. У Дуки и въ ркп. № 327: αὐτοῦ.

[9]) У Миллеса нѣтъ: ἁγίους αὐτοῦ.

[10]) Такъ и въ ркп. № 327. У Милеса нѣтъ: δεικνύων... αὐτοῦ.

[11]) У Миллеса: τὸ δὲ (вар. τὸ).

[12]) ibid. δηλοῖ (вар. μηνύει).

[13]) ibid. нѣтъ.

[14]) ibid. ἢ προεμήνυσε τὴν ἔλευσιν τοῦ βασιλέως Χριστοῦ. (р 330).

[15]) Въ ркп. № 327 прибавляется· ὡς στρατιῶται προτρέχοντες καὶ βοῶντες· ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς (φ. 263 об. Сравн у Миня).

[16]) у Миня прибавлено· τοῦτο.

[17]) ibid. αὐτοῦ τῇ οἰκουμένῃ.

ἑβραίδι διαλέκτῳ, ἔστι τὸ ἀλ, ἔρχεται, ἐφάνη· τὸ δὲ ηλ, ὁ Θεός· τὸ δὲ ουϊα, αἰνεῖτε καὶ ὑμνεῖτε τὸν ζῶντα Θεόν [1]). Καὶ [2]) ἄλλως· ἀλ, ὁ Πατὴρ· ηλ, ὁ Υἱὸς· ουϊα, τὸ ἅγιον Πνεῦμα [3]).

Καὶ γὰρ εὐθέως ὁ θυμιατὸς ὑποδεικνύει τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, τὸ πὺρ τὴν θεότητα· ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου Πνεύματος προπορευομένην· ὁ γὰρ θυμιατός ἐστιν εὐωδεστιάτη εὐφροσύνη [4]). Σοφία, ὁ λόγος, τοῦ Θεοῦ. „Ὀρθοὶ (φ. 236). ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου". Τουτέστιν, ἄρωμεν τὰς διανοίας ἡμῶν σὺν τοῖς ἔργοις ἀπὸ τῶν γηίνων καὶ συνήσωμεν τῶν ἀγαθῶν τὴν δήλωσιν. Τὸ εὐαγγέλιόν [5]) ἐστιν, ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Θεοῦ [6]), ὁποῦ ἐφάνη εἰς ἡμᾶς [7]). Πρόσχωμεν, προσέχετε τουτέστιν αὐτοῦ ἀκούετε ἐν φόβῳ καὶ προσευχῇ. „Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου". Μέγα ἔλεος, ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Λόγος, ὃν εἰς τὸν κόσμον ἀπέστειλεν ἱλασμὸν ὁ Πατήρ. Τὸ κατασφραγίσαι τὸν λαὸν τὸν ἀρχιερέα [8]), ὑποδεικνύει [9]) τὴν μέλλουσαν Χριστοῦ παρουσίαν [10]). „Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις".

---

[1]) Миллесъ: ἔστι δὲ τὸ ἀλληλούια τῇ ἑβραίδι διαλέκτῳ οὕτως· το (Αλλ) ἔρχεται. τὸ (ηλ) ὁ Θεὸς. τὸ (ουια) αἰνεῖτε, ἢ υμνεῖτε τὸν ζῶντα Θεόν. Ркп. № 327: τὸ δὲ αλληλουια ..., какъ въ нашей рукописи.

[2]) у Миня нѣтъ.

[3]) У Миллеса и въ ркп. № 327 нѣтъ сего толкованія.

[4]) См. выше.

[5]) Миллесъ: τὸ ἅγιον εὐαγγέλιον.

[6]) у Миллеса, καθ' ἣν ὡράθη ἡμῖν οὐκέτι διὰ γνόφου, καὶ πυρὸς καὶ σαλπίγγων, ὡς τῷ Μωυσεῖ ἐπὶ τοῦ ὄρους, ἀλλ' ὡς ἄνθρωπος ἀληθὴς, ὁ πραὺς καὶ ἡσύχιος βασιλεὺς, ὁ καταβὰς ὡς ὑετὸς ἀψοφητὶ ἐν πόκῳ· οὗ καὶ ἀκούοντες τὸν λόγον καὶ πιστεύοντες βοῶμεν, δόξα σοι, Κύριε. Τέσσαρα δὲ εἰσι τὰ εὐαγγέλια, ἐπειδὴ καὶ τέσσαρά εἰσι καθολικὰ πνεύματα ἢ διὰ τὰ τετράμορφα ζῶα" (p. 330). Въ ркп. № 327 и у Миня: καθ' ἣν ὡράθη ἡμῖν οὐκέτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν ὥς ποτε τῷ Μωσῇ (№ 327: Μουσῇ) διὰ φωνῶν καὶ ἀστραπῶν καὶ σαλπίγγων, ἤχῳ καὶ γνόφῳ καὶ πυρὶ ἐπὶ τοῦ ὄρους, ἢ τοῖς προφήταις, δι' ἐνυπνίων, ἀλλ' ἐμφανῶς ὡς ἄνθρωπος ἀληθινὸς ἐφάνη, καὶ ὡράθη ἡμῖν ὁ πραὺς καὶ ἡσυχος βασιλεὺς, ὁ πρὶν καταβὰς ὡς ὑετὸς ἐπὶ πόκον ἀψοφητὶ καὶ ἐθεασάμεθα τὴν δόξαν..... Τέσσαρα δὲ εὐαγγέλια..... τετράμορφα ζῶα, ἐν οἷς κάθηται.... объясненіе четверичнаго числа евангелій (φυλ. 264—265, Migne, t. 98, p. 412—416).

[7]) Нѣтъ во всѣхъ редакціяхъ.

[8]) Миллесъ: τὸν ἀρχιερέα τὸν λαόν. Въ ркп. № 327 нѣтъ: τὸν ἀρχιρία.

Греческій пергаминный свитокъ XI—XII в. Воскресенской Новоіерусалимской библіотеки, содержащій: литургію св. Василія Великаго (начиная молитвою 3-го антифона) и половину литургіи Преждеосвященныхъ даровъ (до херувимской пѣсни).

I.

Ο τασ κοινασ ταυτασ καὶ συμφω
νους ἡμῖν χορισάμενοσ πρὸσ
ἐυχὰσ· ὁ καὶ δύο καὶ τρισι συμφω
νουσιν ἐπὶ τὸ ὀνοματί σου τὰς αἰ

---

[1]) Въ ркп. той же библ. XIV в № 127, л. 146 эта молитва имѣетъ такое надписаніе: „мол. сволкъшеся їз ризъ".

[2]) Далѣе въ рукоп. болѣе мелкимъ почеркомъ написана Херувимская пѣснь: иже херувимъ и проч.

τήσεισ παρέχειν ἐπαγγειλάμενοσ
αὐτὸσ καὶ νῦν τῶν δοῦλων σου τὰ
αἰτήματα, προσ τὸ σύμφερον
πλήρωσον· χορηγῶν ἡμῖν ἐν τῷ
παρόντι αἰωνι, τὴν ἐπίγνωσιν τῆσ
σῆσ ἀληθείασ καὶ ἐν τῷ μέλλοντι,
ζωὴν αἰώνιον χαριζόμενοσ.·
Ἀντιλαβοῦ σῶσον: Τῆσ παναγίασ ἀχράντου:
Ὅτι ἀγαθὸσ καὶ φιλάνθρωποσ θεὸσ ὑπαρχησ:
Ἀντίφω ϛ΄ Εὐχὴ: Τῆσ εἰσόδου:·
Δέσποτα κύριε ὁ θεὸσ ἡμῶν· ὁ καταστή
σασ ἐν οὐρανοῖσ τάγματα καὶ στρα
(τί)ασ ἀ(γγ)έλ(ων κ)αὶ ἀρχαγγέλων.
εἰσ λειτουργίαν τῆσ σῆσ δό(ξησ)
πόιησον σὺν τῇ ἐισόδω ἡμων, ἐι
σοδο(ν) ἁγίων ἀγγέλων γ(εν)έσθαι (σ)υ
λλειτουργοῦ(ντ)ω(ν) ἡμῖν· κα(ὶ) σὺν
δοξολογοῦντων τὴν σὴν ἀγαθότητα··
Ο΄(τι) πρέπει σοι πᾶσα δόξα:·
(. . . . вырвано)
Ο (θεὸσ ὁ) αγιοσ ὁ ἐν ἁγίοισ ἀναπαυόμενοσ.
ὁ τρι(σα)γία φωνῆ ὑπὸ τῶν σερα
φὶμ ἀνυμνοῦμενοσ καὶ ὑπὸ τῶν
χερουβὶμ δοξολογοῦμενοσ καὶ ὑ
πὸ πᾶσησ ἐπουρανιου δυνάμεωσ
προσκυνοῦμενοσ· ὁ ἐκ τοῦ μὴ ὄν
τοσ εἰσ τὸ εἶναι παραγαγὼν τὰ σύμ
παντα· ὁ κτίσασ τὸν ἄνθρωπον κατ᾽ εἰ
κόνα σὴν καὶ ὁμοίωσιν· καὶ παντὶ
σου χαρίσματι κατακοσμησασ·
καὶ δίδουσ αἰτοῦντι σοφίαν καὶ συ
νεσιν· καὶ μὴ παρορῶν ἁμαρ(τ)άνον
τα· ἀλλὰ. θ(έ)μενοσ ἐπὶ σωτηρία μετὰ
(νοιαν) ὁ κ(α)ταξιῶσασ ἡμᾶσ τουσ
(ταπ)ειτουσ καὶ ἀναξίουσ δοῦλουσ σου·
καὶ ἐν τῇ ὥρα τάυτη στῆναι κατ᾽ ενώ
πιον τῆσ δόξησ τοῦ ἁγίου σου θυσια
στηρίου καὶ τὴν ὀφειλομένην σοι προσ
κύνησιν καὶ δοξολογίαν προσαγαγεῖν,
αὐτοσ δεσποτα πρόσδεξαι καὶ εκ

ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν
τον τρισάγιον ὕμνον· καὶ ἐπίσκεψε [1])
ἡμᾶς ἐν τῇ χρηστότητί σου· συγγώ
ρισον ἡμῖν πᾶν πλημμέλημα
ἑκοῦσιόν τε καὶ ἀκοῦσιον· ἁγίασον ἡ
μῶν τὰς ψυχὰς καὶ τὰ σώματα·
καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι
πάσας τὰς ἡμέρας τῆς ζωῆς
ἡμῶν. πρεσβείαις τῆς ἁγίας θεοτόκου·
καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾽
αἰῶνός σοι εὐαρεστησάντων.·
Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν καὶ (εν?) ἁγίοις ἐπαν:—
Καὶ πληρωμένου τοῦ τρισαγίου· τοῦ ἀποστόλου καὶ
τοῦ εὐαγγελίου λέγει: Εἴπωμεν πάντες —
Ἐξ ὅλης ψηχης καὶ ἐξ ὅλης τῆς· Κύριε παντοκράτορ ·
Ὑπὲρ τοῦ ῥυσθηναι ἡμας· Ελέησον ἡμᾶς ὁ θεὸς:
Ἔτι ὑπὲρ τῶν εὐσεβεστάτων θεοφυλάκτων —
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχεπισκοπου
Ἔτι δεόμεθα ὑπὲρ τοῦ περιστατου λαοῦ.·
Ἐυχὴ τῆς ἐκτενοὺς ἱκεσίας.—
Κύριε ὁ θεὸς ἡμῶν· τὴν ἐκτενῆ ταύτην
ἱκεσίαν πρόσδεξαι παρὰ τῶν
σῶν δουλων· καὶ ἐλέησον ἡμᾶς κα

II.

τὰ τὸ πλήθος τοῦ ἐλέους σου· καὶ
τοὺς οἰκτιρμούς σου. κατάπεμψον
ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν
σου τὸν ἀπεκδεχόμενον τὸ παρὰ
σοῦ πλοῦσιον ἔλεος:·
Ὅτι ἐλεῆμων καὶ φιλάνθρωπος θεὸς ὑπαρχεις:·
Ε᾽ύξασθε οἱ κατηχουμενοι:· Οἱ πῖστοι ὑπὲρ τῶν κατη-
χουμένων:
Κατηχήσῃ αὐτοὺς τῶ: Αποκαλύψει αὐτους:
ΑΙνώσει αὐτοὺς τῇ: Σῶσον ἐλέησον
Οἱ κατηχοῦμενοι τὰς κεφαλὰς ἡμῶν:
Ε᾽ΥΧΗ᾽ κατηχουμένων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν βα-
σιλειου τοῦ μεγάλου:·

[1]) Чит.: ἐπίσκεψαι.

Κύριε ὁ θεὸς ἡμῶν. ὁ ἐν οὐρανοῖς κατοικῶν.
καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα
σου, ἐπίβλεψον ἐπὶ τοὺς δοῦλους σου
τοὺς κατηχουμένους τούς κεκλι
κότας τοὺς ἑαυτῶν αὐχένας ἐ
νώπιόν σου. δὸς αὐτοῖς τὸν ἐλα
φρὸν ζυγὸν [1]*) σου ποίησον αὐτοὺς,*
μέλη τῆς ἁγίας σου ἐκκλησίας·
καὶ κατιξίωσον αὐτοὺς τοῦ λου
τροῦ τῆς παλιγγενεσίας τῆς ἀ
φέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ
ἐνδύματος τῆς ἀφθαρσίας· εἰς
ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.
Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι:·
Ὅσοι κατηχοῦμενοι προέλθετε:
Οἱ κατηχουμενοι προελθετε: Οοὶ (sic—ὅσοι) *κατηχουμενοι προέλθετε:*
Ὅσοι κατηχοῦμενοι προέλθετε· μήτις
τῶν κατηχουμένων ὠχοί (sic ὅσοι) *πιστοὶ ἔτι καὶ:·*
Εὐχὴ πιστῶν πρώτη μετὰ τὸ ἁπλοθηναι τὸ εἰλητον·
Σὺ κύριε κατέδειξας ἡμῖν· τὸ μέγα
τοῦτο τῆς σωτηρίας μυστήριον· σὺ κα
τηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς
καὶ ἀναξίους δούλους σου, γενέσ
θαι λειτουργοὺς τοῦ ἁγίου σου θυ
σιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς·
τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος· εἰς
τὴν διακονίαν ταύτην ἵνα ἀκα
τακρίτως στάντες ἐνώπιον τῆς
ἁγίας δόξης σου· προσάγαγωμέν
σοι θυσίαν αἰνέσεως· σὺ γαρ εἶ· ὁ
ἐνεργὼν τὰ πάντα ἐν πᾶσι· δὸς
κύριε καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρ
τιμάτων· καὶ τῶν τοῦ λαοῦ ἀγνοη
μάτων· δεκτὴν γενεσθαι τὴν θυσί
αν ἡμῶν· καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.—
Ἀντιλαβου σῶον.—Σοφία:—
Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ ·

---

[1]) Тяжелое ударение перечеркнуто острымъ.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Εὐχὴ πιστῶν δευτέρα.
Ὁ θεὸς ὁ ἐπισκεψάμενος ἐν ἐλέει
καὶ οἰκτιρμοῖς· τὴν ταπείνωσιν ἡ
μῶν· ὁ στήσας ἡμᾶς τοὺς ταπει
νοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀνα
ξίους δοῦλους σου κατενώπι
ον τῆς ἁγίας δόξης σου· λειτουρ
γεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· σὺ
ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ
ἁγίου σου πνεύματος· εἰς τὴν διακονίαν
ταύτην. καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοί

III.

ξει τοῦ στόματος ἡμῶν. εἰς τὸ ἐ
πικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου
σου πνεύματος· ἐπὶ τῶν μελλοντων
προτίθεσθαι δωρων:· Αντίλαβου:·
Σοφία: Ὅπως ὑπὸ τοῦ κράτους σου:
Εὐχὴ ἣν ποιῇ ὁ ἱερεὺς καθ' ἑαυτοῦ τοῦ χερουβικοῦ ἀδο-
μένου ·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων
ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡ
δοναῖς· προσέρχεσθαι ἢ προσεγγίζειν.
ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης·
τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν.
καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμε
σιν. ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ
ἄμετρόν σου φιλανθρωπίαν; ἀτρέπτως
καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος· καὶ ἀρ
χιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς
λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου
θυσίας τὴν ἱερουργίαν παρίδω
κας ἡμῖν ὡς δεσπότης τῶν ἁπάν
των. σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν, δε
σπόζεις τῶν ἐπ' ουρανίων καὶ τῶν ἐ
πιγείων. ὁ ἐπι θρόνου χερουβικοῦ
ἐποχοῦμενος· ὁ τῶν Σεραφὶμ κύριος,
καὶ βασιλεὺς τοῦ Ἰσραὴλ ὁ μόνος ἅγιος,
καὶ ἐν ἁγίοις ἀναπαυόμενος· σὲ τοί

νυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ ἐυή
κοον. ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρ
τωλὸν καὶ ἀχρεῖον δοῦλον σου καὶ κα
θάρισον μου τὴν ψυχὴν καὶ τὴν καρ
δίαν· ἀπὸ συνειδήσεως πονηρᾶς
καὶ ἰκάνωσόν με τῇ δυνάμει τοῦ ἁγί
ου σου πνεύματος· ἐνδεδομένον τὴν τῆς ἱ
ερατίας χάριν, παραστῆναι τῇ ἁγία
σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆ
σαι τὸ ἅγιον καὶ ἄχραντον σου σῶμα
καὶ τὸ τίμιον αἷμα σοὶ γὰρ προσέρ
χομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχέ
να· καὶ δέομαί σου, μὴ ἀποστρέ
ψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. μὴ
δὲ ἀποδοκιμάσῃς με ἐκ τῶν παίδων
σου. ἀλλ' ἀξίωσον προσενεχθῆναί
σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ
ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα·
σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσ
φερόμενος καὶ προσδεχόμε
νος καὶ διαδιδόμενος χριστὲ ὁ θεὸς ἡ
μῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμ
πομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ
τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποι
ῷ σου πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων ἀμήν.
Πληρώσωμεν τὴν δέησιν
Ὑπὲρ τῶν προτεθέντων· Ὑπὲρ τοῦ ἁγίου οἴκου
Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς· Εὐχὴ τῆς προ
σκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ
τῶν ἁγίων δώρων ἀπόθεσιν· Κύριε ὁ θεὸς ἡμῶν ὁ κτί-
σας ἡμᾶς καὶ
ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην. ὁ ὑπο
δείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν

IV.

ὁ χαρίσαμενος ἡμῖν οὐρανίων μυστη
ρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος
ἡμᾶς εἰς τὴν διακονίαν ταύτην
ἐν τῇ δυνάμει τοῦ πνεύματος σου τοῦ ἁγίου·

εὐδόκησον δὴ κύριε· τοῦ γενέσθαι ἡ
μᾶς διακόνους τῆς καινῆς σου
διαθήκης· λειτουργοὺς τῶν ἁγίων
σου μὐστηρίων· πρόσδεξαι ἡμᾶς
προσεγγίζοντας τῷ ἁγίῳ σου θυ
σιστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους
σου. ἵνα γενώμεθα ἄξιοι;
τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύ
την καὶ ἀνέμακτον [1]) θυσίαν ὑπὲρ
τῶν ἡμετέρων ἁμαρτημάτων.
καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἧν
προσδεξάμενος εἰς τὸ ἅγιον καὶ
ὑπερουράνιον καὶ νοερόν σου θυ
σιαστήριον εἰς ὀσμὴν εὐωδίας
ἀντικατάπεμψον ἡμῖν τὴν
χάριν τοῦ ἁγίου σου πνεύματος· ἐπίβλε
ψον ἐφ' ἡμᾶς ὁ θεὸς· καὶ ἔπιδε
ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην·
καὶ πρόσδεξαι αὐτὴν ὡς προ
σεδέξω ἄβελ τὰ δῶρα νῶε τὰς
θυσίας· ἀβραὰμ τὰς ὁλοκαρ
πώσεις· μωσέως καὶ ἀαρὼν τὰς
ἱερωσύνας σαμουὴλ τὰς εἰρη
νικάς· ὡς προσεδέξω ἐκ τῶν
ἁγίων σου ἀποστόλων τὴν ἀλη
θινὴν ταύτην λατρείαν; οὕτως καὶ
ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρ
τωλῶν πρόσδεξαι τὰ δῶρα ταῦ
τα ἐν τῇ χριστότητί σου κύριε. ἵνα
καταξιωθέντες λειτουργεῖν
ἀμέμπτως τῷ ἁγίῳ σου θυσια
στηρίῳ; εὕρωμεν τὸν μισθὸν τῶν
πίστῶν καὶ φρονίμων οἰκονόμων·
ἐν τῇ ἡμέρα τῇ φοβερᾷ τῆς ἀν
ταποδώσεώς σου τῆς δικαίας:—
Ἀντιλαβου σῶσον. Τὴν ἡμεραν πασαν:—
Ἄγγελον εἰρήνης:· Συγγνωμην καὶ ἄφεσιν:
Τα καλὰ καὶ συμφεροντα:· Τὸν ὑπόλοιπον χρόνον:

[1]) ἀναίμακτον.

Χριστιανᾶ τὰ τέλη: Τῆς παναγίας ἀχράντου.·
Διὰ τὸν [1]*) οἰκτιρμῶν τοῦ μονογενοῦς σου:*
Εἰρήνη πᾶσιν: Ἀγαπήσωμεν ἀλλήλους: Τὰς θύ
ρας τὰς θύρας: Πιστεύω εἰς ἕνα θεὸν.·
Στῶμεν καλῶς στωμεν μετα φόβου προσχομεν ·
Η χαρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη ·
Ἄνω σχωμεν τὰς καρδίας: Εὐχαριστήσωμεν: Εὐχὴ (на полѣ).

Ο ὢν δέσποτα κύριε θεὲ πάτερ παν
τοκράτορ προσκυνητὲ ἄξιον
ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέ
πον τῇ μεγαλοπρεπεῖα τῆς ἁγι
ωσύνης σου; σαὶ [2]*) αἰνεῖν· σὲ ὑμνεῖν*
σὲ εὐλογεῖν. σὲ προσκυνεῖν· σοὶ
εὐχαριστεῖν· σὲ δοξάζειν τὸν μό
νον ὄντως ὄντα θεὸν καὶ σοὶ προσ
φέρειν ἐν καρδία συντετριμμέ
νῃ· καὶ πνεύματι ταπεινῶσεως; τὴν
λογικὴν ταύτην λατρείαν ἡμῶν.

V.

ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν
ἐπίγνωσιν τῆς σῆς ἀληθείας·
καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυνα
στείας σου. ἀκουστὰς ποιῆσαι πᾶ
σας τας αἰνέσεις σου· ἢ διήγήσας
θαι πάντα τὰ θαυμάσιά σου ἐν
παντὶ καιρῷ. δέσποτα δέσποτα
τῶν ἁπάντων· κύριε οὐρανοῦ καὶ γῆς καὶ
πάσης κτίσεως ὁρωμένης τε
καὶ οὐχ' ὁρωμένης· ὁ καθήμενος ἐ
πι θρόνου δόξης καὶ ἐπιβλέπων
ἀβύσσους· ἄναρχε· ἀόρατε· ἄκα
τάληπτε· ἀπερίγραπτε· ἀναλλοί
ωτε· ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ
τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος τῆς ἐλπί

---

[1]) τῶν.
[2]) σέ.

δος ἡμῶν· ὅσ ἐστὶν εἰκὼν τῆς σῆς
ἀγαθότητος· σφραγὶς ἰσότυπος
ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν πατέρα· λό
γος ζῶν. θεὸς ἀληθινός· ἡ πρὸ αἰῶ
νων σοφία· ζωὴ· ἁγιασμός· δύνα
μεις· τὸ φῶς τὸ ἀληθινὸν· παρ' οὗ
τὸ πνεῦμα τὸ ἅγιον ἐξεφάνη· τὸ τῆς
ἀληθείας πνεῦμα· τὸ τῆς υἱοθεσί
ας χάρισμα· ὁ ἀρραβὼν τῆς με
λλούσης κληρονομίας· ἡ ἀπαρ
χὴ τῶν αἰωνίων ἀγαθῶν· ἁγιά
ποιὸς δύναμις· ἡ πηγὴ τοῦ ἁγιασ
μοῦ· παρ οὗ πᾶσι κτίσις· λογι
κή τε καὶ νοερὰ δυναμουμένη
σοὶ λατρεύει· καὶ σοι τὴν ἀίδιον ἀνα
πέμπει δοξολογίαν· ὅτι τὰ σύμ
παντα δοῦλά σοί· σὲ γὰρ αἰνοῦσιν
ἄγγελοι ἀρχάγγελοι· θρόνοι κυριό
τητες· ἀρχαὶ ἐξουσίαι· δυνάμεις,
καὶ τὰ πολυόμματα χερουβίμ·
σοὶ παρίστανται κύκλῳ τὰ σεραφίμ·
ἓξ πτέρυγες τῷ ἑνί; καὶ ἓξ πτέρυ
γες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ, κατα
καλύπτουσι τὰ πρόσωπα ἑαυτῶν·
ταῖς δὲ δυσὶ τοὺς πόδας· καὶ ταῖς
δυσὶ πετόμενα, κέκραγον ἕτερον
πρὸς τὸ ἕτερον· ἀκατα παύστοις
στόμασιν ἀσιγήτοις δοξολογίαις --
Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα βοῶντα.
κεκραγότα καὶ λέγοντα ·
Μετὰ τούτων τῶν μακαρίων δυνά
μεων δέσποτα φιλάνθρωπε· καὶ ἡμεῖς
οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν·
ἅγιος εἶ ὡς ἀληθῶς καὶ παναγίος·
καὶ οὐκ ἔστιν μέτρον τῇ μεγαλοπρε
πείᾳ τῆς ἁγιότητός σου· καὶ ὅσιος
ἐν πᾶσι τοῖς ἔργοις σου· ὅτι ἐν δι
καιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάν
τα ἐπή(η)γαγες ἡμῖν· πλάσας γὰρ τὸν
ἄνθρωπον χοῦν λαβὼν ἀπο τῆς γῆς· καὶ

εἰκόνι τῇ σῇ ὁ θεὸς τιμήσας; τέθεικας
αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς·
ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν
αἰωνίων ἀγαθῶν· ἐν τῇ τηρήσει τῶν
ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ.

VI.

ἀλλὰ παρακοῦσαντα σοῦ τοῦ
ἀληθινοῦ θεοῦ τοῦ κτίσαντος αὐ
τὸν καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑ
παχθέντα· νεκρωθέντα τὲ
τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν,
ἐξώρισας αὐτὸν ἐν τῇ δικαιόκρι
σία σου ὁ θεὸς· ἐκ τοῦ παραδείσου
εἰς τὸν κόσμον τοῦτον· καὶ ἀπεστρέ
φας εἰς τὴν γὴν ἐξ ἧς ἐλήφθη οἰ
κονομῶν αὐτῷ τὴν ἐκ παλιν
γενεσίας σωτηρίαν· τὴν ἐν αὐτῷ
τῷ χριστῷ σου· οὐ γὰρ ἀπεστράφης
τὸ πλάσμα σου (приписка на верху εἰς τέλος) ὃ
ἐποίησας

ἀγαθέ· οὐδὲ ἐπελάθου ἔργου χει
ρῶν σου· ἀλλ' ἐπεσκέψω πολυτρό
πως διὰ σπλαγχνα ἐλέους σου
προφήτας ἐξαπέστειλας· ἐποί
ησας δυνάμεις διὰ τῶν ἁγίων σου·
τῶν καθ' ἑκάστην γενεὰν καὶ γενεαν·
εὐαρεστησάντων σοι· ἐλάλησας ἡ
μῖν διὰ στόματος τῶν προφητῶν
τῶν δούλων σου προκατηγγέλλων
τὴν μέλλουσαν ἔσεσθε(αι) σωτηρίαν· νό
μον ἔθωκας εἰς βοήθειαν· ἀγγέλους
ἐπέστησας φύλακας· ὅτε δὲ ἦλθε
τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλη
σας ἡμῖν ἐν αὐτῷ τῷ υἱῷ σου δι' οὗ
καὶ τοὺς αἰῶνας ἐποίησας· ὃς ὢν ἀ
παύγασμα τῆς δόξης σου καὶ χα
ρακτὴρ τῆς ὑποστάσεώς σου· φέ
ρων τὲ τὰ πάντα τῷ ῥήματι τῆς
δυνάμεως αὐτοῦ, οὐχ' ἁρπαγμὸν

ἠγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ θεῷ καὶ
πατρὶ ἀλλὰ θεὸς ὢν προαιωνίως. ἐ
πὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις
συναναστρίφη καὶ ἐκ παρθένου
ἁγίας σαρκωθεὶς ἐκένωσεν ἑαυ
τὸν [1]) μορφὴν δούλου λαβών· σύμ
μορφος γενόμενος τῷ σώματι
τῆς ταπεινώσεως ἡμῶν· ἵνα ἡ
μᾶς συμμόρφους ποιήσει τῆς
εἰκόνος τῆς δόξης αὐτοῦ· ἐπει
δὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλ
θεν εἰς τὸν κόσμον· καὶ διὰ τῆς
ἁμαρτίας ὁ θάνατος, εὐδοκησεν
ὁ μονογενῆς σου υἱὸς ὁ ὢν ἐν τοῖς
κόλποις σοῦ τοῦ θεοῦ καὶ πατρὸς γε
νόμενος ἐκ γυναικὸς τῆς ἁγίας
θεοτόκου καὶ ἀειπαρθένου μαρίας
γενόμενος ὑπὸ νόμον; κατακρί
ναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ·
ἵνα οἱ ἐν τῷ ᾅδῃ ἀποθνήσκον
τες, ζωοποιηθῶσιν ἐν αὐτῷ
τῷ χριστῷ σου· καὶ ἐμπολιτευσάμενος
τῷ κόσμῳ τούτῳ· δοὺς προστάγ
ματα σωτηρίας· ἀποστήσας ἡμᾶς
τῆς πλάνης τῶν εἰδώλων, προ

VII.

σῆγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀλη
θινοῦ θεοῦ καὶ πατρὸς· κτησάμενος
ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον·
βασίλειον ἱεράτευμα ἔθνος ἅγιον.
καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιά
σας τῷ πνεύματι σου τῷ ἁγίῳ, ἔδωκεν ἑαυ
τὸν ἀντάλλαγμα τῷ θανάτῳ ἐν ᾧ
κατειχόμεθα πεπραμένοι ὑ
πὸ τῆς ἁμαρτίας καὶ κατελθὼν
διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην· ἵνα πλη

[1]) Написано съ тяжелымъ удареніемъ и поправлено на острое.

ρώσῃ ἑαυτοῦ τὰ πάντα. ἔλυσε τὰς ὠδῖνας [1]) τοῦ θανάτου καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ καὶ ὁδοποιήσας πᾶσῃ σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν καθότι οὐκ ἦν [2]) δυνατὸν κρατεισθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων πρωτότοκος ἐκ τῶν νεκρων· ἵνα ἢ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς· ὅθεν καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους· ταῦτα ἃ προτεθείκαμεν κατα τὰς αὐτοῦ ἐντολάς· μελλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωόποιὸν αὐτοῦ θάνατον· τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν· καὶ ἀναδείξας σοὶ τῷ θεῷ καὶ πατρὶ· εὐχαριστήσας, εὐλογήσας [3]) ἁγιάσας κλάσας:—

Εδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών:· Λάβετε φάγετε τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλῶμενον εἰς ἄφεσιν ἁμαρτιῶν·—Ευχὴ.·

Ομοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, κεράσας εὐχαριστήσας· εὐλογήσας ἁγιάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπῶν: Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμα μου τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ἡμῶν καὶ πολλῶν ἐκχυνόμενον. εἰς

1) *ὠδύνας.*
2) *ἦν.*
3) *ευλογήσας.*

ἄφεσιν ἁμαρτιῶν —εὐχή.
Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνη
σιν ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρ
τον τοῦτον καὶ τὸ ποτήριον τοῦτο
πίνητε τὸν ἐμὸν θάνατον (κα)τα
γγέλλετε τὴν ἐμὴν ἀνάστασιν ὁμο

VII*.

λογεῖτε· μεμνημένοι οὖν δέσποτα
καὶ ἡμεί(ν τῶν) σωτηρίων αὐτοῦ παθη
μάτων· (τοῦ) ζωοποιοῦ σταυροῦ· τῆς τρι
ημέρου ταφῆς· τῆς ἐκ νεκρῶν ἀνα
στάσεως· (τῆς) εἰς οὐρανοὺς ἀνόδου· τῆς
ἐκ δεξι(ῶν σου) τοῦ θεοῦ καὶ πατρὸς κα
θέδρας· καὶ τῆς ἐνδόξου καὶ φο,βε
ρᾶς δευτέρας αὐτοῦ παρουσίας·
Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κα
τὰ πάντα καὶ διὰ πάντα
Διὰ τοῦτο δέσποτα παράσχε καὶ ἡμεῖν
οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοι σου·
οἱ καταξιωθέντες λειτουργεῖν τῷ
ἁγίῳ σου θυσιαστηρίῳ οὐ διὰ τὰς δι
καιόσύνας ἡμῶν οὐ γὰρ ἐποιήσα
μέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς· ἀλλὰ δι
α τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς
σου οὓς ἐξέχεας πλουσίως ἐφ ἡμᾶς,
θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ
σου θυσιαστηρίῳ καὶ προθέντες
τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ
αἵματος τοῦ χριστοῦ σου, σοῦ δεόμεθα
καὶ σὲ παρακαλοῦμεν ἅγιε ἁγίων,
εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος ἐλθεῖν
τὸ πνεῦμα σου τὸ ἅγιον ἐφ' ἡμᾶς· καὶ
ἐπὶ τὰ προκείμενα δῶρα τάυτα·
καὶ εὐλογῆσαι αὐτα [1]) καὶ ἁγιάσαι καὶ
ἀναδεῖξαι: —Καὶ σφραγίζη. · [2])
Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα

[1]) опять острое перечеркнуто тяжелымъ.
[2]) σφραγίζει.

τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησου Χριστοῦ:
Ἀμήν·
Τὸ δὲ ποτήριον τοῦτο αὐτὸ τὸ τίμιον αἷμα
τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ:·
ἀμήν.
τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.· εὐχή:
Ημᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρ
του καὶ τοῦ ποτηρίου μετέχοντας, ἑ
νῶσαι ἀλληλοις εἰς ἑνὸς πνεύματος ἁγίου
κοινωνίαν καὶ μηδένα ἡμῶν εἰς
κρίμα ἢ εἰς ἀντάκρίμα· ποιῆσαι
μετασχεῖν τοῦ ἁγίου σῶματος καὶ αἵ
ματος τοῦ χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν
ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων
τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων·
προπατόρων πατέρων πατριαρχῶν·
προφητῶν ἀποστόλων· κηρύκων
εὐαγγελιστῶν μαρτύρων· ὁμολογιτῶν [1]).
διδασκάλων, καὶ παντὸς πνεύματος δικάι
ου ἐν πίστει τετελειωμένου.—
Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερεὐ
λογημένης ἐνδόξου δεσποίνης ἡμῶν
θεοτόκου καὶ ἀειπαρθένου μαριας: Καὶ λέγει διάκονος
τὰ δίπτυχα τῶν κεκοιμημένων:
Τοῦ ἁγίου ἰωάννου τοῦ προφήτου προ
δρόμου καὶ βαπτιστοῦ τῶν αγίων καὶ
πανευφῆμων ἀποστόλων· τοῦ ἁγίου τοῦδε [2]).

VI*.

οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν
καὶ πάντων τῶν ἁγίων σου· ὧν ταῖς ἱκε
σίαις, ἐπίσκεψαι ἡμᾶς ὁ θεὸς· καὶ μνήσ
θητι πάντων τῶν κεκοιμημένων ἐ
π' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου·
καὶ ἀνάπαυσον αὐτούς· ὅπου ἐπισκο

---

[1]) ὁμολογήτων.

[2]) Тутъ на полѣ позднѣйшею рукою написано, но не ясно, кажется, μμη: λεωντειου.

πεῖ τὸ φῶς τοῦ προσώπου σου· ἔτι σου
δεόμεθά μνησθητι κύριε τῆς ἁγίας σοῦ
καθολικῆς καὶ ἀποστολικῆς ἐκκλη
σίας· τῆς ἀπὸ περατων ἕως περά
των τῆς οἰκουμένης· καὶ εἰρήνευσον αὐ
τὴν ἣν [1]) περιεποιήσω τῶ τιμίῳ αἵματι
τοῦ χριστοῦ σου· καὶ τὸν ἅγιον οἶκον τοῦτον
στερέωσον μέχρι τῆς συντελίας τοῦ αἰῶνος·
μνήσθητι κύριε τῶν τὰ δῶρα σοι ταῦτα
προσκομισάντων· καὶ ὑπὲρ ὧν καὶ
δι' ὧν καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν·
μνήσθητι κύριε τῶν καρποφοροῦντων·
καὶ καλλιεργοῦντων ἐν ταῖς ἁγίαις σου
ἐκκλησίαις· καὶ μεμνημένων τῶν
πενήτων· ἄμειψαι αὐτούς τοῖς πλουσί
οις σου καὶ ἐπουρανίοις χαρίσμασι· χά
ρισαι αὐτοῖς ἀντί τῶν ἐπιγείων τὰ
ἐπουράνια· ἀντὶ τῶν προσκαίρων τὰ
αἰῶνια· ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα·
μνήσθητι κύριε τῶν ἐν ἐρημίαις καὶ ὄ
ρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς
τῆς γῆς· μνήσθητι κύριε τῶν ἐν παρ
θενία καὶ εὐλαβεία καὶ ἀσκήσει καὶ
σεμνῇ πολιτείᾳ διαγόντων· μνήσ
θητι κύριε τῶν εὐσεβεστάτων καὶ πιστο
τάτων ἡμῶν βασιλέων· οὓς ἐδικαί
ωσας βασιλεύειν ἐπὶ τῆς γῆς· ὅπλω
ἀληθείας ὅπλω εὐδοκίας· στεφάνω
σον αὐτούς· ἐπισκίασον ἐπὶ τὴν κεφα
λὴν αὐτῶν ἐν ἡμέρα πολέμου· ἐνίσ
χυσον αὐτῶν τὸν βραχίονα· ὕψωσον
αὐτῶν τὴν δεξιάν κράτυνον αὐτῶν τὴν
βασιλείαν· ὑπόταξον αὐτοῖς πάν
τα τὰ βάρβαρα ἔθνη· τὰ τούς πολέ
μους θέλοντα. χάρισαι αὐτοῖς βαθεί
αν καὶ ἀναφαίρετον εἰρήνην. λίλησον
εἰς τὴν καρδίαν αὐτῶν ἀγαθᾶ, ὑπὲρ
τῆς ἐκκλησίας σου καὶ παντὸς τοῦ

[1]) ἣν.

λαοῦ σου. ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν
ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν·
ἐν πάσῃ εὐσεβείᾳ· καὶ σεμνότητι·
μνήσθητι κύριε πάσης ἀρχῆς καὶ ἐ
ξουσίας· καὶ τῶν ἐν τῷ παλατίῳ
ἀδελφῶν ἡμῶν· καὶ παντὸς τοῦ στρα
τοπέδου· τοὺς ἀγαθοὺς ἐν τῇ ἀγαθό
τητι διατήρησον· τοὺς πονηροὺς ἀγα
θοὺς ποίησον ἐν τῇ χριστότητι σου·
μνήθητι κύριε τοῦ περιεστῶτος λαοῦ·
καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολει
φθέντων καὶ ἐλέησων αὐτούς καὶ
ἡμᾶς κατα τὸ πλῆθος τοῦ ἐλέους σοῦ·

V*.

τὰ ταμεῖα αὐτῶν ἔμπλησον παν
τὸς ἀγαθοῦ τὰς συζυγίας αὐτῶν, ἐν
εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια
ἔκθρεψον· τὴν νεότητα παίδαγω
γησον· τὸ γεῖρας περικράτησον τοὺς
ὀλιγοψύχους, παραμύθησαι· τοὺς
ἐσκορπισμένους, ἐπισυνάγαγε· τοὺς
πεπλανημένους. ἐπανάγαγε· καὶ σύ
ναφον τῇ ἁγία σου καθολικῇ καὶ ἀπο
στολικῇ ἐκκλησίᾳ· τοὺς ὀχλουμέ
νους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευ
θέρωσον· τοῖς πλέουσι, σύμπλευσον·
τοῖς ὁδοιποροῦσι, συνόδευσον· χηρῶν,
πρότηθι· ὀρφανῶν ὑπεράσπισον·
αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι·
τῶν ἐν βήμασι καὶ μετάλλοις καὶ ἐξορί
αις καὶ πικραῖς δουλείαις· καὶ πάσι [1])
θλίψει καὶ ἀνάγκῃ· καὶ περιστάσει ὄν
των, μνημόνευσον ὁ θεὸς καὶ πάντων
τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγ
χνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς καὶ
των μισοῦντων· καὶ τῶν ἐντειλαμένων
ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐ

[1]) πάσχ.

τῶν· καὶ παντὸς τοῦ λαοῦ· μνήσθητι
κύριε ὁ θεὸς ἡμῶν· καὶ ἐπὶ πάντας ἔκχεον
τὸ πλοῦσιόν σου ἔλεος· πᾶσι παρέ
χων τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ὧν
ἡμεῖς οὐκ ἐμνημονεῦσαμεν· δι' ἄγνοιαν
ἢ λήθην ἢ πλήθος ὀνομάτων; αὐτὸς
μνοιμόνευσον [1]) ὁ θεὸς ὁ εἰδὼς ἑκάστου
τὴν ἡλικίαν καὶ τὴν προσηγορίαν·
ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ.
σὺ γὰρ εἶ κύριε ἡ βοήθεια τῶν ἀβοηθήτων·
ἡ ἐλπὶς τῶν ἀπελπισμένων· ὁ τῶν
χειμαζομένων σωτὴρ· ὁ τῶν πλεόντων
λιμὴν· ὁ τῶν νοσοῦντων ἰατρὸς αὐτὸς
τοῖς πᾶσι τὰ πάντα γενοῦ· ὁ εἰδὼς ἕκα
στον καὶ τὸ αἷμα αὐτοῦ· οἶκον, καὶ τὴν χρεί
αν αὐτοῦ· ῥῦσαι κύριε τὴν πόλιν ταύτην·
καὶ πᾶσαν πόλιν καὶ χώραν· ἀπὸ λιμοῦ·
λοιμοῦ· σεισμοῦ· κατακοντισμοῦ· πυρὸς·
μαχαίρας· ἐπιδρομῆς ἀλλοφύλων·
καὶ ἐμφυλίου πολέμου·
Ἐν πρώτοις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν [2]).
τοῦ δε:
ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίε(αι)σ ἐν εἰρήνῃ· σῶον
ἔντιμον· ὑγιεῖ [3]) μακροήμερεύοντα.
ὀρθοτομοῦν [4]) τὸν λόγον τῆς σῆς ἀληθείας·
Διάκονος τὰ δύπτυχα τῶν ζωντων· ευχη [5])
Μνήσθητι κύριε πᾶσης ἐπισκοπῆς ὀρθο
δόξων· τῶν ὀρθοτομούντων τόν λόγον
τῆς σῆς ἀληθείας· μνήσθητι κύριε κατὰ
τὸ πλῆθος τῶν οἰκτιρμῶν σου· καὶ
τῆς ἐμῆς ἀναξιότητος· συγχώρη
σον μοι πᾶν πλημμέλημα· ἐκοῦ
σιόν τε καὶ ἀκούσιον· καὶ μὴ διὰ τὰς
ἐμὰς ἁμαρτίας· κωλύσης τὴν χάριν

---

[1]) *μνημόνευσον*.

[2]) Надъ словами: *ημων τουδε* позднѣйшею рукою написано: *διμητρης*.

[3]) *ὑγιῆ*.

[4]) Такъ написано вмѣсто: *ὀρθοτομοῦντα*.

[5]) На этой строкѣ позднѣйшею (тою же) рукою написаны одно надъ другимъ имена: *βασιλειου νικολαου*.

τοῦ ἁγίου σου πνεύματος· ἀπὸ τῶν προκει
μένων δῶρον· μνήσθητι κύριε τοῦ
πρεσβυτερίου τῆς ἐν χριστῷ διακονίας·
καὶ παντὸς ἱερατικοῦ τάγματος·
καὶ μηδένα ἡμῶν καταἰσχύνης· τῶν

IV*.

κυκλοῦντων τὸ ἅγιόν σου θυσιαστήρι
ον· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότη
τί σου κύριε· ἐπιφάνηθι ἡμῖν· ἐν τοῖς πλου
σίοις σου οἰκτιρμοῖς· ἐυκράτους καὶ
ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι
ὄμβρους ἐιρηνϊκοὺς τῇ γῇ πρὸς καρ
ποφορίαν δώρησαι· εὐλόγησον τὸν
στέφανον τοῦ ἐνιαὐτοῦ τῆς χρηστότη
τος σου· παῦσον τὰ σχίσματα τῶν
ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα
τῶν ἐθνῶν· τὰς τῶν αἱρέσεων ἐπα
ναστάσεις ταχέως κατάλυσον. τῇ δυνά
μει τοῦ ἁγίου σου πνεῦματος· πάντας ἡμᾶς
πρόσδεξαι εἰς τὴν βασιλείαν σου· ὑιοὺς
φωτὸς καὶ ὑιοὺς ἡμέρας ἀναδείξασ
τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χά
ρισαι ἡμῖν κύριε ὁ θεὸς ἡμῶν πάντα γὰρ
ἀπέδωκας ἡμῖν:· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾶ
καρδία
δοξάζειν· καὶ ἀνυμνεῖν τὸ πάντιμον
καὶ μεγαλοπρεπᾶι(ε)σ ὄνομα σοῦ τοῦ πατρος καὶ:·
Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆροσ ἡμῶν
ιησοῦ χριστοῦ μετὰ:·
Πάντων τῶν ἁγίων μνημονεύσαντες ἔτι καὶ ἔτι:—
(Ὑ)πὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμιων:·
Οπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν· πρὸσδεξάμενος:·
Ἀντι κατάπεμψ.. ἡμῖν τὴν χάριν τοῦ ἁγίου πνευματος:·
Ὑπὲρ τοῦ ρυσθηναι ἡμᾶς ἀπὸ πασης:· ιερευς: εὐχή:·
Ο θεὸς ἡμῶν ὁ θεὸς τοῦ σώζειν· σὺ ἡμᾶς
δίδαξον· εὐχαριστεῖν σοὶ ἀξίως τῶν
ἐυεργεσιῶν σου· ὧν ἐποίησας καὶ ποι
εῖς μεθ' ἡμῶν. σὺ εἶ ὁ θεὸς ἡμῶν, ὁ προσ

δεξάμενος τὰ δῶρα ταῦτα· καθά
ρησον [1]) ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ
σαρκὸς καὶ πνεύματος· καὶ δίδαξον ἐπιτε
λεῖν ἁγιοσύνην ἐν φόβῳ σου· ἵνα
ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνει
δήσεως ἡμῶν· ὑποδεχόμενοι τὴν με
ρίδα τῶν ἁγιασμάτων σου, ἐνωθῶμεν
τῷ ἁγίῳ σώματι καὶ αἵματι τοῦ χριστοῦ σου·
καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως; σχῶ
μεν τὸν χριστὸν κατοικοῦντα ἐν ταῖς καρ
δίαις ἡμῶν· καὶ γενόμεθα ναὸς τοῦ ἁγί
ου σου πνεύματος· ναὶ ὁ θεὸς ἡμῶν· καὶ μηδένα
ἡμῶν ἔνοχον ποιήσεις τῶν φρικτῶν
σου τοῦτων καὶ ἐπουρανίων μυστηρίων·
μηδὲ ἀσθενῆ ψυχὴ καὶ σώματι· ἐκ τοῦ
ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ
δὸς ἡμῖν μέχρη [2]) τῆς ἐσχάτης ἡμῶν
ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν
ἐλπίδα τῶν ἁγιασμάτων σου· εἰς
ἐφόδιον ζωῆς αἰωνίου· εἰς ἀπολογί
αν εὐπρόσδεκτον· τὴν ἐπὶ τοῦ φο
βεροῦ βήματος [3]). τοῦ χριστοῦ σου· ὅπως ἂν
καὶ ἡμεῖς μετὰ πάντων τῶν ἁγίων· τῶν
ἀπ' αἰῶνος σοι εὐαρεστησάντων· γενό
μεθα [4]) μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν
ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε κύριε·
Αντιλαβοῦ σῶσον ελεησον: Την ἡμέραν πασαν τελείαν:—
Αγγελον εἰρήνης: Συγγνώμην καὶ ἄφεσιν: Τὰ καλὰ και:—
Τὸν ὑπόλυπον χρόνον Χριστιανὰ τὴ τέλη: Τὴν ενωτητα
τῆς: ·

III*.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ πα
ρρησίας ἀκατακρίτους· τολμαν ἐπικαλεῖσθαι
σὲ τὸν ἐπουράνιον θεὸν πατέρα καὶ λέγειν: Πάτερ ἡμῶν:

---

[1]) καθάρισον.
[2]) μίχρι.
[3]) βήματος.
[4]) γενώμεθα.

Οτι σοῦ ἐστὶν ἡ βασιλεια.· Εἰρήνη πᾶσιν.· Τὰς κε-
φαλὰς:·

Δέσποτα κύριε ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ
θεὸς πάσης παρακλήσεως τούς ὑ
ποκεκλικότας σοι τὰς ἑαυτῶν κεφα
λὰς; εὐλόγησον ἁγίασον· φρούρησον (ἁγί
ασον) δχύρωσον ἐνδυνάμωσον ἀπὸ
παντὸς ἔργου πονηροῦ ἀπόστησον· παν
τί δε ἔργω ἀγαθῶ σύναφον· καὶ καταξί
ωσον ἀκατακρίτως μετασχεῖν τῶν ἁ
χράντων τοῦτων καὶ ζωόποιῶν μυ
στηρίων εἰς ἄφεσιν ἁμαρτιῶν· εἰς πνεύματος
ἁγίου κοινωνίαν:·
Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπία τοῦ μονογενοῦς:—
Πρόσχες κύριε ἰησοῦ χριστὲ ὁ θεὸς ἡμῶν· ἐξ ἁγίου κα
τοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης
τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ
ἁγιάσαι ἡμᾶς· ὁ ἄνω τῶ πατρὶ συγκαθήμενος·
καὶ ὧδε [1]) ἡμῖν ἀοράτως συνῶν καὶ κατα
ξίωσον τῇ κραταιᾶ σου χειρὶ· μετα
δοῦναι ἡμῖν τοῦ ἀχράντου σῶματός σου
καὶ τοῦ τιμίου αἵματος καὶ δι' ἡμῶν
παντὶ τῶ λαῶ:· Εἶτα πρόσχωμεν.·
Καὶ μεταλαβ. παντ: Λέγει ὁ ἱερεύς τὴν ευχὴν ·
Εὐχαριστοῦμεν σοι κύριε ὁ θεὸς ἡμῶν· ἐπὶ
τῇ μεταλήψει των ἁγίων ἀχράντων ἁ
θανάτων καὶ ἐπουρανίων σου μυστηρί
ων· ἃ ἔδωκας ἡμῖν ἐπὶ εὐεργεσία·
καὶ ἁγιασμῶ καὶ ἰάσει τῶν ψυχῶν ἡμῶν
καὶ τῶν σωμάτων· αὐτὸς δέσποτα
τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν
κοινωνίαν τοῦ ἁγίου σῶματος καὶ αἵ
ματος τοῦ χριστοῦ σου· εἰς πίστην [2]) ἀκαταίσ
χυντον· εἰς ἀγάπην ἀνυπόκριτον· εἰς
πλησμονὴν σοφίας· εἰς ἴασιν ψυχῆς
καὶ σῶματος· εἰς ἀποτροπὴν παν
τὸς ἐναντίου· εἰς περιποίησιν τῶν

---

[1]) ᾧδε.
[2]) αἴστιν.

ἐντολῶν σου· εἰς ἀπολογίαν εὐπρόσ
δεκτον· τὴν ἐπὶ τοῦ φοβεροῦ βήμα
τος τοῦ χριστοῦ σου:· Πάντοτε νῦν καὶ ἀεὶ:· καὶ λεγει:
Ὀρθοὶ μεταλαβόντες: Αντιλαβοῦ: Τὴν ἡμέραν πᾶσαν.
Ὅτι σὺ εἶ:·
Ο εὐλογῶν τοὺς εὐλογοῦντας σε Κύριε· καὶ ἁγι
άζων τοὺς ἐπὶ σοὶ πεποιθῶτας· σῶσον
τὸν λαὸν σου καὶ εὐλόγησον τὴν κληρονο
μίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησί
ας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπό(ω)ν
τας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ
αὐτοὺς ἀντιδόξασον τῇ θεικῇ σου δυ
νάμει· καὶ μὴ ἐγκαταλίπης ἡμᾶς τοὺς
ἐλπίζοντας ἐπὶ σὲ· εἰρήνην τῶ κόσ
μω σου δῶρησαι· ταῖς ἐκκλησίαις σου· τοῖς ἱερεῦσι· τοῖς
βασιλεῦσιν ἡμῶν
τῶ στρατῶ καὶ παντὶ τῶ λαῶ· ὅτι πᾶ
σα δῶσις ἀγαθὴ καὶ πᾶν δῶρημα
τέλειον ἄνωθεν ἐστὶν καταβαίνων
ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων καὶ σοὶ
τὴν δόξαν καὶ εὐχαριστίαν τιμὴν

II*.

καὶ προσκύνησιν ἀναπέμπομεν·
τῶ πατρὶ καὶ υἱῶ καὶ τῶ ἁγίω πνεύματι· νῦν και:
Ευχη λεγομένη ἐν τὸ(ῶ) σκευοφυλακίω:·
Ηνυστε [1]) καὶ τετέλεσται ὅσον εἰς τὴν ἡμε
τέραν δύναμιν χριστέ ὁ θεὸς ἡμῶν τὸ τῆς
σῆς οἰκονομίας μυστήριον· ἔσχομεν
γὰρ τοῦ θανάτου σου τὴν μνημην· εἴ
δομεν τῆς ἀναστάσεώς σου τον τύπον·
ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου
ζωῆς· ἀπελαύσαμεν τῆς ακενώ
του σου τρυφῆς· ἧς καὶ ἐν τῶ μελλον
τι αἰῶνι πάντας ἡμᾶς αξ(ιωθ)ῆναι

---

[1]) ἤνυσται.

εὐδόκησον· χάριτι τοῦ ἀχράντου σου
πατρὸς· καὶ τοῦ ἁγίου καὶ ἀγαθοῦ καὶ ζω
οποιοῦ σου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

+ Ἡ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ +

Ὁ θεὸς ὁ θεος ἡμῶν· ὁ ὑποδείξας ἡμῖν,
τῆς σωτηρίας τὸ μέγα τοῦτο μυστήριον·
σὺ ἐκάνωσον ἡμᾶς πρὸς ἐνεγκεῖν
σοι, θυσίαν προηγιασμένην εἰς δό
ξαν καὶ ἔπαινον τοῦ χ(ριστο)ῦ σου.
Ὅτι ἁγίασται καὶ δεδόξασται τὸ παντ(ιμον) καὶ:
Εὐλόγησον δεσ(πο)τα. Εὐλογημένη ἡ βασιλ(εία).
Ευχη τοῦ λυχνικοῦ Α.
Κύριε οἰκτήρμων καὶ ἐλεήμων· μακροθυ
με καὶ πολυέλεε ἐνώτησε τὴν πρὸς
ἐυχὴν ἡμῶν· καὶ πρόσχες τὴν φωνὴν
τῆς δεήσεως ἡμῶν· πόιησον μεθ' ἡ
μῶν σημεῖον εἰς ἀγαθὸν· ὁδήγησον
ἡμὰς ἐν τῇ ὁδῷ σου· τοῦ πορίυεσθαι
ἐν τῇ ἀληθεία σου· ἔυφρανον τὰς
καρδίας ἡμῶν· εἰς τὸ φοβεῖσθαι τὸ ὁ
νομα σου τὸ ἅγιον· διότι μέγας εἶ καὶ
ποιῶν θαυμάσια· σὺ εἶ ὁ θεὸς μόνος
καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε· δυνατὸς ἐν ἐλέει

καὶ ἀγαθός ἐν ἰσχύϊ· εἰς τὸ βοηθεῖν καὶ παρακαλεῖν καὶ σῶζειν
πάντας τοὺς ἐλπίζοντας ἐις τὸ ὄνομα τὸ ἅγιον σου:· Ὅτι πρέπει:·
Κύριε μὴ τὸ θυμῶ σοῦ ἐλέγξῃς ἡμὰς· μηδὲ τῇ ὀργί(η) σου παιδεύσῃς
ἡμας· ἀλλὰ πόιησον μεθ' ἡμῶν κατὰ τὴν ἐποιήκηἄν [1]) σου, ἰάτρὲ
καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν· ὁδίγησον ἡμὰς ἐπὶ λημέ
να θελήματός σου· φῶτησον τοῦς ὀφθαλμοῦς τῶν καρδιῶν
ἡμῶν εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν
τὸ λοιπὸν τῆς παροῦσης ἡμέρας· εἰρηνικὸν καὶ ἀναμάρτητον
καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβεῖαις τῆς ἁ
γίας θεοτοκου καὶ πάντων τῶν ἁγίων σου· Ὅτι σὸν τὸ κράτ(ος·
Κύριε ὁ θεὸς ἡ μῶν· μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων
δοῦλων σου· ἐν τὸ [2]) ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον καὶ προσ κυνητὸν
ὄνομά σου· καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας
τοῦ ἐλέους σου· ἀλλὰ χάρισαι ἡμῖν κύριε πάντα τὰ πρὸς σω-
τηρίαν αἰτήματα
καὶ κατιξίωσον ἡμᾶς· ἀγαπὰν
καὶ φοβῆσθε [3]) σε ἐξ ὅλης τῆς καρ
δίας ἡμῶν· καὶ ποιεῖν ἐν πάσι τὸ θέλημά σου:· Ὅτι ἡγίασται καὶ δε(δόξασται)...
Ἐν εἰρὴ(νη) τοῦ:· ΥΠὲρ τῆς ἄνωθεν εἰρήνης:· ΥΠὲρ τῆς
εἰρήνης τοῦ κόσμου παντὸς:· ΥΠὲρ τοῦ ἁγίουοἴκου
τουτου:· ΥΠὲρ τοῦ ἀρχιεπισκόπου:—
ΥΠὲρ τῶν εὐσεβεστάτων:· ΥΠὲρ τοῦ συμπολεμῆσαι:· ΥΠὲρ
τῆς πόλεως:· ΥΠὲρ εὐκρασίας:· ΥΠὲρπλεόντων:·
ΥΠὲρ τοῦ ῥυσθῆναι:·
Αντιλαβοῦ.· Τῆς παναγίας: Ὅτι πρέπει:—Ε'ΥΧΗ' τῆς εἰσό-
δου:·
Εσπέρας καὶ πρωϊκαὶμεσημβρίας αἰνοῦμεν· εὐλογοῦμεν· εὐ
χαριστοῦμεν· καὶ δεόμεθά σου Δέσποτα τῶν ἁπάντων· κατεύ

---

1) ἐπιεικείαν.
2) τῷ.
3) φοβεῖσθαι.

θυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου· καὶ μὴ ἐκ
κλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους πονι(η)ρίας· ἀλλὰ ῥύσαι ἡμᾶς
ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σὲ

I*.

(κυριε οἱ) ὀφθαλμοὶ ἡμῶν καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισ
χύνῃς ἡμᾶς ὁ θεὸς ἡμῶν (стерто кажется надо читать такъ:
χόρος το κατευθυνθήτω
Εἴπωμεν πάντες: Ἐξ ὅλης (τῆς) ψυχῆς: Κύριε παντοκράτωρ:
ΥΠὲρ..... ΕΥΧΗ᾽ τῆς (ἐκτενοῦς ἱκεσίας)
Κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενη ταυτην ικεσιαν (προσ-
δεξαι πα)
ρα τῶν σῶν δουλων· καὶ ἐλεησον ἡμας κατὰ τὸ πλήθος
τοῦ ἐλέους σου· και τους οικτιρμοῦς σου κατάπεμψον ἐ
φ᾽ ἡμὰς καὶ ἐπὶ πάντα των [1]) λαον σου τον απεκδεχόμε
νον τὸ παρὰ σου πλουσιον ἔλεος.· ΥΠερ (стерто) των
ευσεβε
στάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων:· ΥΠερ τοῦ επισ
κοπου ἡμῶν τουδε (стерто:·) Τῆς παναγίας
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος ὁ θεὸς ὑπάρχεις:· Εὔ-
ξασθε οἱ κα
τηχούμενοι: Οι πιστοὶ ὑπὲρ τῶν κατηχουμένων:· Κατη
(χηση) αὐτοῦς τὸν λόγον τῆς ἀληθείας: Ἀποκαλύψῃ αὐτοῖς
τὸ:· Ενώ
σῃ αὐτοὺς τῇ ἁγία):· Σῶσον ἐλέησον καὶ διαφύλαξον.—Ὀι
κατοιχοῦ
μενοι [2]) τὰς κεφαλὰς ὑμῶν. Ὁ ιερεὺς ἐπεύχεται:—
Ὁ θεὸς ὁ θεὸς ἡμῶν· ὁ κτήστης [3]) καὶ δημιουργὸς τῶν απάντων·
ὁ πάντας θέλων σωθῆναι εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν·
ἐπίβλεψον [4]) ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους·
καὶ λύτρωσαι αὐτοὺς τῆς παλεᾶς [5]) πλάνης καὶ τῆς μεθο

---

1) τὸν.
2) κατηχούμενοι.
3) κτιστὴς.
4) ἐπίβλεψον.
5) παλαιᾶς.

δίας τοῦ ἀντικειμένου· καὶ προσκάλεσαι αὐτοὺς εις
τὴν ζωὴν τὴν αἰῶνιω(ο)ν φωτή(ι)ζων αὐτῶν τὰς ψυχὰς
καὶ τὰ σῶματα· καὶ συνκαταριθμῶν αὐτοῦς τῇ λογικῇ σου
ποίμνῃ· ἐφ' ἣν τὸ ὀνομά σου τὸ ἅγιον ἐπικέκληται
Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ παντιμον: Ὅσοι κατηχουμενοι:
Οἱ κατοιχοῦμενοι προέλθετε:—Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε.·
Εὔξασθε οἱ πρὸς τὸ φώτισμα. οἱ πιστοὶ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φωτισμα: Οἱ πιστοὶ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φῶτη(ι)σμα
(вырвано) Ὅπως κύριος ὁ θεὸς ἡμῶν στηρί(ι)ξῃ αὐτοὺς καὶ ἐνδυναμώσῃ:—
Φ(ωτίσῃ αὐτοὺς вырвано) φωτη(ι)σμὸν γνώσεως καὶ ἀληθείας.· Ἀνακαινί(ι)σῃ
αὐτοῦς δι' ὕδατος καὶ πνεύματος.· Χαρήσετε [1]) αὐτοῖς τὴν τεληότιτα [2]) τῆς πίστεως:: Καταξίωσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτω τοῦ λουτροῦ
τῆς παλιγγενεσίας [3]):· Σῶσον ἐλέησον καὶ διαφύλαξον:·
Οἱ πρὸς τὸ φωτησμα [4]) τὰς κεφαλὰς ὑμῶν τω κυριω κλίνατε [5]):·
Ἐπίφανον· δέσποτα· τὸ πρόσωπον σου ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φωτισμα εὐτρεπιζωμένους· καὶ ἐπιποθοῦντας
τὸν τῆς ἁμαρτίας μολησμὸν [6]) ἀποτηνάξασθαι [7]) καταύγασον αὐτῶν τὴν διανοίαν· βαιβαίωσον [8]) αὐτοὺς ἐν τῇ πίστει· στήριξον ἐν ἐλπίδῃ [9]) τελήωσον [10]) ἐν ἀγάπῃ· μέλη τήμια [11]) ἀνάδειξον τοῦ χριστοῦ σοῦ· τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὅτι σοι [12]) εἶ ὁ φωτησμός [13]) ἡμῶν καὶ σῇ [14]) τὴν δόξαν ἀναπέμπομεν:·

---

1) χαρισεται.
2) τελειότητα
3) παλινγενεσίας.
4) φώτισμα.
5) κλίνατε.
6) μολυσμὸν.
7) αποτινάξασθαι.
8) βεβαίωσον.
9) ελπιδι.
10) τελείωσον.
11) τίμια.
12) σὺ.
13) φωτισμὸς.
14) σοὶ.

Οσοι πρὸς τὸ φωτησμα [1]) *προέλθετε Οι πρὸς τὸ φῶτῆσμα προέλθετε —*
Οσοι κατηχούμενοι προέλθετε (вырвано) *Μήτις τῶν κατηχοῦμενων·*
(Далѣе вырвано).....
Ὁ (θεὸς ὁ μέγας καὶ αἰνετὸς· ὁ ζωοποιῶ τοῦ χριστοῦ—эти слова вырваны) *σου θανάτω εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς (μεταστήσας· σὺ πάσασ*—эти слова почти совсѣмъ стерлись) *ἡμῶν τὰς αἰσθήσης* [2]) *τῆς ἐμπαθοῦς νεκρῶσεως ἐλευθέρωσον· ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμόν· καὶ ὀφθαλμὸς μὲν· ἀμέτοχος ἔστω παντὸς πονηροῦ βλέμματος. ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπίβατος· ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων ἀπρεπῶν. ἄγνησον* [3]) *δὲ ἡμῶν τὰ χείλη τὰ αἰνοῦντα σε κύριε τὰς χεῖρας ἡμῶν ποίησον τῶν μὲν φαύλων ἀπέχεσθαι* [4]) *πράξεων· ἐνεργεῖν δὲ μόνα τὰ σοῖ εὐάρεστα· πάντα ἡμῶν τὰ χείλη* [5]) *καὶ τὴν διάνοιαν τῇ σοῖ* [6]) *κατὰσφαλιζόμενος* [7]) *χάριτι:· Ἀντιλαβοῦ σῶσον ἐλέησον:*
Σοφία:—Οτι πρέπη [8]) *σοῖ πᾶσα δόξα:—Ἔτι καὶ ἔτι ἐν εἰρήνει* [9]):
Δέσποτα ἅγιε ὑπεράγαθε· δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον ἵλεον γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς· καὶ ἀξίους ἡμᾶς ποίησον τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ ἡμῶν τοῦ βασιλέως τῆς δόξης: ἰδοῦ γὰρ τὸ ἄχραντον αὐτοῦ σῶμα: καὶ τὸ ζωόποιὸν αἷμα κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα τῇ μυστικῇ ταύ τη προτηθεσθαι [10]) *μέλλει τραπέζῃ· ὑπὸ πλήθους στρατιᾶς οὐρανίου· ἀοράτως δορυφορούμενα· ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρησαι· ἵνα δι' αὐτῶν τὸ τῆς*

---

[1]) *φώτισμα.*
[2]) *αίσθήσεις.*
[3]) *ἄγνισον.*
[4]) *ἀπέρχεσθαι?*
[5]) *μέλη?*
[6]) *σῇ.*
[7]) *κατασφαλιζομενοι*
[8]) *πρέπει.*
[9]) *εἰρήνῃ.*
[10]) *προτίθεσθαι.*

διανοίας ὅμμα καταυγαζόμενοι υἱοὶ φωτὸς καὶ ἡμέρας γενώμεθα. Αντιλαβοῦ σωσον: Σοφία. Κατὰ τὴν δωρεὰν τοῦ χριστοῦ σου μεθ' οὗ εὐλογητὸς εἶ συν: · Θεὸς ὁ επισκεψα.... ἡμᾶς ἐν ἐλέει καὶ οικτιρμοῖσ καὶ χαρησα....[1]).

X.

Греческій пергаминный листокъ—свитокъ XIV в., содержащій часть литургіи св. Василія Великаго (начиная неполною молитвою 3-го антифона и кончая неполною молитвою трисвятаго).

ρονομιαν σου· το πληρωμα τ(ῆς)
εκκ(λη)σίας σου φύλαξον· ἁγί
α(σον τ)οὺς ἀγαπωντας την εὐ
π(ρεπ)ειαν τοῦ οἴκου σου: σὺ αὐτοὺς
ἀντιδόξασον τῇ θείκῇ σου δυ
νάμει· καὶ μὴ εγκαταλίπης ἡμᾶς
τοὺς ἐλπίζοντας ἐπὶ σέ:. διάκονος
Αντιλαβοῦ σῶσον· τῆς παναγίας ἀχράντου:
ΕΚΦΩ. Ο"τι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεια καὶ
ἡ δύναμις καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου
πνεύματος· νῦν καὶ αεὶ καὶ. Αντίφω. β'. Ὁ κύριος ἐβασιλευσε:
Καὶ γὰρ ἑτερέ. Τὰ μαρτύριά σου· Δόξα καὶ νῦν
Ὁ μονογενὴς υἱὸς· ὁ διακονος· Ε"τι καὶ ἔτι:

Ε' ΧΗ' (ΤΟΥ˜ ΑΝΤΙ) ΦΩ'ΝΟΥ Γ.

Ὁ τ(ὰς) κοινὰς ταύτας καὶ συμφώ
νους ἡμῖν χαρισάμενος πρὸ
σευχάς· ὁ καὶ δύο καὶ τρισὶ συμφω
νοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς

---

[1]) χαρισα....

αἰτήσεις παρεχειν ἐπαγγειλάμενος;
αὐτὸς καὶ νῦν τῶν δούλων σου
τὰ αἰτήματα, πρὸς τὸ συμφε
ρον πλήρωσον· χορηγῶν ἡμῖν
ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπί
γνωσιν τῆς σῆς ἀληθείας· καὶ
ἐ(ν τῷ) μέλλοντι ζωὴν αἰώνιον
χ(αρι)ζόμενος· Αντιλαβοῦ· Τῆς παναγίας:
ΕΚΦΩΝΗΣΙΣ. Ὅτι ἀγαθὸς καὶ φιλανθρωπος θεὸς
ὑπαρχεις· καὶ σοὶ
τὴν δόξαν ἀναπέμπομεν· τῷ πατρὶ καὶ τῷ υἱῷ
καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ. Αντιφω. ϛ'. Δεῦτε
ἀγαλ·
Προφθάσωμ· Ὅτι θεὸς μέγας· Ὅτι ἐν
τῇ χειρὶ· Ὅτι αὐτου καὶ
Δεῦτε προκύ:

ΕΥΧΗ ΤΗΣ ΕΙΣΟΔΟΥ.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν· ὁ καταστή
σας ἐν οὐρανοῖς τάγματα και
στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων
εἰς (λ)ειτουργίαν τῆς σῆς δόξης;
π(οίη)σον σὺν τῇ εἰσόδῳ ἡμῶν
εἴ(σο)δον ἁγίων ἀγγέλων γενέσθαι.
συλλειτουργούντων ἡμῖν καὶ συν
δοξολογούντων τὴν σὴν αγαθοτητα·
ΕΚΦΩ'ΝΗΣΙΣ· Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ
προσκυνησις
τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγιῷ πνεύματι· νῦν καὶ
ἀεὶ καὶ:

ΕΥΧΗ ΤΟΥ ΤΡΙΣΑΓΙΟΥ

Ο θεὸς ὁ ἅγιος· ὁ ἐν ἁγίοις ἀναπαύό
μενος· ὁ τρισαγία φωνῇ ὑπὸ τῶν
σεραφὶμ ἀνυμνούμενος καὶ ὑπὸ
τῶ(ν χ)ερουβὶμ δοξολογούμενος· καὶ
ὑ(πὸ) πάσης ἐπουρανίου δυνάμεως
προσκυνούμενος· Ὁ ἐκ τοῦ μὴ
ὄντως εἰς τὸ εἶναι παραγαγὼν τὰ

σύμπαντα· ὁ κτίσασ τὸν ἄνθρωπον
κατ' ἐικόνα σὴν καὶ ὁμοίωσιν· καὶ παν
τί σου χαρίσματι κατακοσμησας
καὶ διδοὺς αἰτοῦντι σοφίαν καὶ συ
νεσιν· καὶ μὴ παρορῶν ἁμαρτάνον
τα· ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετά
νοιαν· ὁ καταξιώσασ ἡμᾶς (τοὺς) ταπενοὺς καὶ ἀναξιους
δ(ού)λους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ
στῆναι κατενώπιον τῆς δόξης
τοῦ ἁγίου σου θυσιαστηρίου· καὶ τὴν

БИБЛИОТЕКА
СОЦИАЛИСТИЧЕСКОЙ
АКАДЕМИИ

ОГЛАВЛЕНІЕ.

Предисловіе . . . . . I—IX.

I. Чинъ проскомидіи въ древнѣйшихъ греческихъ евхологіяхъ—Барберииовомъ (IX в.) и Порфиріевскомъ (IX—X в.) 1—2.

II. Чинъ литургіи св. Іоанна Златоуста X—XI в. по рукописи Криптоферратскаго монастыря . . . . . 2—7.

III. Чинъ проскомидіи въ древнихъ греческихъ спискахъ литургій свв. Марка, Петра и Іакова . . . . . 7—9.

IV. Чинъ литургіи св. Іоанна Златоуста XIV в по рукописи Криптоферратскаго Монастыря. . . . . 10—17.

V. Чинъ проскомидіи по рукописи XV в Синодальной библіотеки № 428. . . . . 17—24.

VI. Краткій текстъ толкованія на литургію, извѣстнаго съ именемъ св. Германа, патріарха Константинопольскаго, по рукописи XVI в. Синодальной Библіотеки . . . . . 25—42.

— Славянскій переводъ Германова толкованія, сдѣланный монахомъ Евѳиміемъ, по рукописи Синодальной библіотеки № 378. . . . . 43—54.

VII. Чинъ проскомидіи въ славяно-русскихъ служебникахъ XII—XIV вв. . . . . 54—85.

VIII. Послѣдованіе великаго входа и причащенія по древнимъ служебникамъ библіотеки С.-Петербургской Духовной Академіи и нѣкоторымъ другимъ памятникамъ . . . . . 86—100.

IX. Греческій пергаминный свитокъ XI—XII в. Воскресенской Новоіерусалимской библіотеки, содержащій. литургію св. Василія Великаго (начиная молитвою 3-го антифона) и первую половину литургіи Преждеосвященныхъ Даровъ (до херувимской пѣсни) . . . . . .100—126.

X. Греческій пергаминный листъ—свитокъ XIV в., содержащій часть литургіи св. Василія Великаго (начиная неполною молитвою 3-го антифона и кончая неполною молитвою трисвятаго). . . . . .126—128.

Наиболѣе важныя изъ замѣченныхъ опечатки:

Страница.	*Строка.*	*Напечатано:*	*Надо:*
3	24 св.	*ἐπομένων*	*ἑπομένων*
5	39 св.	*ἁμαρτολῷ*	*ἁμαρτωλῷ*
—	3 сн.	*οἴνῳ*	*βίῳ*
7	7 св.	*Εὐλογημένη*	*Εὐλογημένοι*
11	3 сн.	*ἀκροδάκτυλο.*	*ἀκροδάκτυλον.*
12	29 св.	*Εὐλάγησον*	*Εὐλόγησον*
27	8 сн.		
—	9 сн.	ѧко	ꙗко
	и др. мн. под.	ѧкоже	ꙗкоже
43	7 св.	тайней	тайной
47	15 св.	помолитетѧ	помолитесѧ
49	2 св.	ребa	ребра
56 и	др. **ꙗко...**	**хвалениѧ... диѧконъ** и др. под.	**ꙗко.... хвалениꙗ.... диꙗконъ**
59	3 св.	**въвѣсть**	**съвѣсть**
64	2—3 св.	**прѣбатдую**	**пребѓтую**
—	13 св.	**нерѣон**	**нерѣом**
—	—	**трие.... свое** и под.	**триѥ... своѥ**
119	1 сн.	*αἴστιν*	*πίστιν*

РАБОТЫ ТОГО ЖЕ ЛИЦА:

1) *Историческій обзоръ чинопослѣдованія проскомидіи* до „устава литургіи“ Константинопольскаго патріарха Филоѳея. Москва, 1895. Цѣна 2 р. 50 к съ перес.

2) *Древнѣйшій образецъ христіанской полемики противъ атомизма — твореніе св. Діонисія Александрійскаго „о природѣ“* (περὶ φύσεως). Изслѣдованіе и переводъ съ подлиннаго греческаго текста. (Помѣщено въ Православномъ Обозрѣніи за 1891 годъ, май—іюнь).

3) *Греческій подлинникъ Никоновской Скрижали* — Краткое сравненіе книги· „Ἡ θεία λειτουργία μετὰ ἐξηγήσεων διαφόρων διδασκάλων“, изданной въ Венеціи въ 1574 году, съ „*Скрижалью*“ патріарха Никона и съ приложеніемъ портрета пресвитера Іоанна Наѳанаила. Москва. 1892. (Оттискъ изъ журнала „Библіографическія Записки“ за 1892 г, № 7). Цѣна 30 коп.

4) *О діаконахъ.* Къ вопросу: имѣетъ ли право діаконъ замѣнять священника въ совершеніи нѣкоторыхъ священнодѣйствій? Москва 1893 годъ. (Оттискъ изъ „Московскихъ Церковныхъ Вѣдомостей“ за 1893. № 15). Цѣна 20 коп.

5) *Сказаніе св. Григорія Декаполита о чудесномъ видѣніи одного Сарацина, его обращеніи въ христіанство, подвижнической жизни и мученической кончинѣ.* Переводъ съ греческаго съ приложеніемъ славянскаго текста сказанія и слова св. Ефрема о просфорѣ соблазнившемуся брату. Москва. 1894 годъ. (Оттискъ изъ „Чтеній въ Обществѣ Любителей Духовнаго Просвѣщенія за 1894 г. №№ 4, 5 и 6). Цѣна 20 коп.

6) *Къ біографіи Московскаго Митрополита Платона и исторіи Виѳанской Духовной Семинаріи.*—Письма Митрополита Платона къ Высочайшимъ Особамъ: Императрицѣ Екатеринѣ II, Императору Павлу и Императрицѣ Маріи Ѳеодоровнѣ. Съ предисловіемъ и примѣчаніями. Москва. 1895. (Оттискъ изъ „Чтеній въ Обществѣ Исторіи и Древностей Россійскихъ при Императорскомъ Московскомъ Университетѣ“ за 1895 г. кн. IV). Цѣна 30 коп.

Выписывать можно изъ книжнаго магазина И. Л. Тузова въ С.-Петербургѣ и отъ автора (Сергіевъ Посадъ Московской губерніи, зданіе Виѳанской Семинаріи).